14. ἔτι μᾶλλον] Sic codex. Quæ si sana sunt, scribe πρὸς πᾶν, ἔτι μᾶλλον δὲ πυνθανόμενος κτλ. Attamen corrupta potius esse mihi videntur, reponendumque : πρὸς πᾶν ὅ τι μέλλον. — 15. ἐπὶ τούτων] scribendum potius ἐπὶ τούτοις, *eos qui post taxiarchas locum obtinent*, ἑκατοντάρχας etc. — 16. ἐκκηλ.] ἐκηλ. codex. Ceterum dubites an non fuerit ἐκκινούμενος, vox bene nota. Contra verbum ἐκκηλέω nusquam, quantum scio, occurrit, nisi quod apud Hesychium : ἐξεκελέμησεν, ἐξηύλησεν, ἔθελξεν, Casaubonus reponi vult ἐξεκήλησεν. — 17. ἐπεχεῖτο] dictum est, ut ἐπιχεομένους τοῦ Δημητρίου ap. Phylarchum in Athen. Deipnos. VI, p. 261, B, pro quibus Plutarchus in Demetr. 25 : ἐπιχύσεις λαμβάνοντας Δημητρίου. De voce θρανογράφος hucusque ex uno constabat Hesychio, qui θρανογράφους esse dicit τοὺς εὐπρεπεῖς τοιχογράφους. Proprie sunt pictores qui coloribus ornant τοὺς θράνους, i. e. sec. Pollucem X, 49, τὰ ξύλα τὰ κατακλείοντα τοὺς πλινθίνους τοίχους. — 18. καλλωπιστρίας] sic scripsi pro cod. ἀμμουνκιστρίας, quamquam non defore spero, qui nescio quam Ammonis ministram expiscandam esse putent. — * ᾠνοχόει τῷ] codex ᾠνοχοεῖτο — 19. κινήματος] νικήματος codex. — 20. Νίκων] Exstat hujus Niconis mentio in editis (XV, 33, 7), ubi una cum matre Agathoclis et sororibus reliquisque cognatis a plebe trucidatus esse dicitur.

ΕΚ ΤΗΣ ΙΣΤΟΡΙΑΣ

ΔΙΟΝΥΣΙΟΥ ΑΛΙΚΑΡΝΑΣΣΕΩΣ.

[ΕΚ ΒΙΒΛ. ΙΒ'.]

Ὅτι λιμοῦ κατὰ τὴν Ῥώμην γενομένου ἰσχυροῦ, ἀνήρ τις οἴκου τε οὐκ ἀφανοῦς καὶ χρήμασιν ἐν τοῖς μάλιστα δυνατὸς, Σπόριος Μάλλιος (1), εὐδαίμων ἐπίκλησιν ἐπὶ τῆς πολλῆς εὐπορίας, νεωστὶ μὲν παρειληφὼς τὸν οἶκον τοῦ πατρὸς, ἡλικίαν δὲ (1*) καὶ τάξιν ἔχων ἱππικὴν, οἷα μήτε ἀρχὰς παραλαμβάνειν μήτε ἄλλην κοινὴν ἐπιμέλειαν μηδεμίαν, λαμπρὸς εἴ καί τις ἄλλος τὰ πολεμικὰ (2), καὶ πολλοῖς κεκοσμημένος ἀριστείοις, κράτιστον ὑπολαβὼν καιρὸν ἐπιθέσει τυραννίδος, ἐπὶ δημαγωγίαν τοῦ πλήθους ἐτράπετο, τὴν ῥᾳστώνην τῶν ἐπὶ τυραννίδα φερουσῶν ὁδῶν. Ἔχων δὲ πολλοὺς ἑταίρους καὶ πελάτας, ἄλλους ἄλλῃ διέπεμψε, χρήματα δοὺς ἐκ τῶν ἰδίων ἐς συναγυρμοὺς (3) τροφῆς· καὶ αὐτὸς εἰς Τυρρηνίαν (4) ᾤχετο. Ἐν βραχεῖ δὲ χρόνῳ δι' ἑαυτοῦ τε καὶ τῶν ἑταίρων πολλὴν κατακομίσας ἀγορὰν, διεμέτρει (5) τοῖς πολίταις, ἀντὶ δώδεκα δραχμῶν διδράχμου ἀπομετρῶν τὸν μόδιον· ὅσους δὲ αἴσθοιτο παντάπασιν ἀδυνάτους καὶ μηδ' (6) ὑπὲρ τῆς ἐφημέρου τροφῆς ἔχοντας προέσθαι τὸ διάφορον ἄνευ τιμῆς χαριζόμενος. Ταύτῃ τῇ φιλανθρωπίᾳ τὸν δῆμον ἀναλαβὼν καὶ θαυμαστὴν ὅσην δόξαν ἀπενεγκάμενος ᾤχετο πάλιν ἐμπορευσόμενος ἑτέρας ἀγοράς· καὶ παρῆν οὐ διὰ μακροῦ ποταμηγοὺς (7) ἄγων σκάφας πολλὰς πάνυ μετὰ τροφῆς· καὶ τὸν αὐτὸν τρόπον τοῖς [πολίταις] ἐμέτρει. Οἱ δὲ πατρίκιοι ταῦτα πράττοντα ὁρῶντες αὐτὸν ὑποψίας τε ἐλάμβανον τῆς ἄγαν φιλοτιμίας τοῦ ἀνδρὸς, οὐδὲν ἀγαθοῦ ἀπολαύσειν οἰόμενοι, καὶ συνιστάμενοι κατὰ τὴν ἀγορὰν ἐσκόπουν ὄντινα χρὴ τρόπον εὐπρεπέστερον ἄνευ κινδύνου παῦσαι τούτων αὐτὸν τῶν πολιτευμάτων, κρύφα μὲν τὸ πρῶτον καὶ κατ' ὀλίγους συνιόντες καὶ διαλεγόμενοι πρὸς ἀλλήλους, ἔπειτα καὶ ἐκ τοῦ φανεροῦ καταβοῶντες, ἐπειδὴ βαρύς τε (8) καὶ ἀφόρητος ἦν, ἔργῳ τε πράττων ὑπερηφανίας

[E LIBRO XII.]

Fame per urbem sæviente, vir generis haud obscuri et opibus quam maxime pollens, Spurius Mælius, cui Felicis cognomentum ob bonorum abundantiam, nuper hereditate paterna potitus, in ætatis flore constitutus, ordini equestri adscriptus, neque magistratu neque alio quovis munere publico unquam functus, ceterum si quis alius re bellica clarus multisque virtutis præmiis ornatus : is igitur, egregiam tyrannidis affectandæ occasionem sese nactum ratus, gratiam et auctoritatem popularem captare cœpit : quæ quidem via omnium facillime ad tyrannidem ducere solet. Itaque quum multos familiares et clientes haberet, alios dimisit, qui pecunia ejus privata frumentum coemerent; eodemque ipse consilio in Etruriam profectus est. Et quum brevi magnam annonæ copiam tum sua tum sodalium opera in urbem convexisset, inter cives eam dimetiebatur, pretio modii a duodecim drachmis ad duas reducto; quotquot vero prorsus egenos noverat et qui ne quotidiani quidem victus impensam facere possent, iis sine pretio gratificabatur. Qua humanitate postquam populi favorem sibi conciliaverat et mirum quantam nominis celebritatem nactus erat, denuo ad annonam quærendam profectus est, nec multo post rediit naves fluviatiles ducens multo refertas frumento, quod sicuti antea civibus dimetiebatur. Hæc videntes patricii nimiam viri ambitionem suspectabant, nec boni quidquam inde sibi evasurum augurabantur. Et coeuntes in foro dispiciebant num qua ratione speciosa absque periculo avertere Spurium a cœptis istis possent. Congressus illi primum clandestini erant et paucorum inter se colloquia, deinde vero etiam ex aperto agere et clamoribus Spurium accusare : nimirum molestus admodum et plane intolerabilis evaserat, tum

---

I. *Fol.* 186, 1 *r.* — 193, 8 *r.* Quæ hoc loco de Sp. Mælio narrantur, Titus Livius exponit lib. IV, c. 16 sqq.; succinctius de iisdem e Dionis Cassii libris deperditis agit Zonaras VII, 20; paucis rem tangunt complures, ut Cicero De rep. II, 27. 29; Cato 16, 56; Pro Milon. 27, 72; in Catilin. I, 1, 4; Philipp. II, 44, 114; Læl. 11, 36. Florus I, 26, 7, alii. Cf. etiam de Æquimelio Cicero De divin. II, 17; Pro domo 38, 101; Valerius Max. VI, 3, 1. Dionysius eandem quam Livius narrationem sequitur, verum multo fusius rem tradit, et præter narrationem, quæ ipsi videbatur verisimillima esse, aliam subjungit ex probatissimis auctoribus, L. Cincio Alimento et Calpurnio Pisone, repetitam. Quam si nosset Niebuhrius (*Rœm. Gesch.* II, p. 470 sqq.), multo etiam confidentius memoriam Sp. Mælii ab affectatæ tyrannidis crimine purgare, ac patriciorum potius odio virum oppressum dicere sustinuisset. — Fragmentum nostrum e libro XII depromptum esse non est cur pluribus ostendam.

1. Μάλλιος] codex modo Μάλλιος modo Μάλιος. Eodem modo codices Zonaræ. — 1*. δὲ] τε codex. — 2. πολεμικὰ] codex πολέμια, quod etsi excerptor pro πολεμικὰ usurpare potuit, a Dionysio tamen alienum est. Deinde codex καὶ κοσμένης pro κεκοσμένης. — 3. ἐς συναγ.] ἐκσυναγυρμοὺς codex. — 4. Τυρρηνίαν] τυραννίαν codex. — 5. διεμέτρει] διεμέρει codex. — 6. μηδ'] μήδ' codex. — 7. ποταμηγοὺς] ποταμιγοὺς codex. Mox inserui v. πολίταις. — 8. τε] ἔτι codex. Fort. erat βαρύτε-

μεστὰ, καὶ λόγους διεξιὼν αὐθάδεις ὑπὲρ ἑαυτοῦ· ὅς γε πρῶτον μὲν καθεζόμενος ἐπὶ βήματος περιφανοῦς, ὥσπερ ἔθος ἐστὶν τοῖς τὰς ἀρχὰς ἔχουσιν, ἐχρημάτιζε τοῖς προσιοῦσιν δι' ἡμέρας περὶ τὴν σιτοδοσίαν, ἐκβαλὼν τῆς τιμῆς ταύτης τὸν ἀποδειχθέντα ὕπαρχον ὑπὸ τῆς βουλῆς· ἔπειτα [δὲ] συνεχεῖς ποιούμενος ἐκκλησίας, οὐκ ὂν ἐν ἔθει Ῥωμαίοις ἰδιώτην ἐκκλησίαν συναγαγεῖν, πολλὰ μὲν τοῦ Μινυκίου κατηγόρει πρὸς τὸν δῆμον, ὡς ὄνομα φέροντος ἀρχῆς μόνον, ἔργον δὲ οὐδὲν ἀποδειξαμένου τοῖς πένησιν ὠφέλιμον· πολλὰ δὲ τοὺς πατρικίους διέβαλλε πρὸς τὸν δῆμον, ὡς ταῦτα πράττοντας (9) ἐξ ὧν ὀλίγος τε καὶ οὐδενὸς ἄξιος ὁ δῆμος ἔσται, καὶ οὐδὲ ἐπὶ σιτοδείᾳ φροντίδα τῶν ἀπόρων ἔχοντας οὐδεμίαν οὔτε κοινῇ πάντας οὔτε ἰδίᾳ τοὺς δυνατοὺς, πάντων (10) μάλιστα δέον αὐτοὺς χρήμασί τε καὶ σώμασιν, ὥσπερ αὐτὸς δὴ, κακοπαθεῖν, καὶ πάντοθεν ἐπεισάγειν τῇ πόλει τὰς ἀγοράς· ἠξίου τε πρὸς τὰ τῶν ἄλλων ἔργα πατρικίων τὰ ὑφ' ἑαυτοῦ πραττόμενα ἐξετάζειν, ὡς πολὺ καὶ τὸ πᾶν ἀλλήλων διαφέροντα. (11) Ἐκείνους μὲν γὰρ οὐδὲν ἐκ τῶν ἰδίων εἰς τὸ κοινὸν ἀναλίσκοντας ἔτι καὶ τὴν δημοσίαν γῆν σφετερισαμένους πολὺν (12) ἤδη καρποῦσθαι χρόνον, ἑαυτὸν δὲ τῶν δημοσίων οὐδὲν ἔχοντα ἔτι καὶ τὴν πατρῴαν καταχορηγεῖν οὐσίαν εἰς βοήθειαν τῶν ἀπόρων· καὶ ἐπειδὰν τὰ ὄντα καταναλώσῃ, δανείσματα ποιεῖσθαι παρὰ φίλων, οὐδὲν (13) ἀντικαταλλαττόμενον τῆς τοσαύτης φιλοτιμίας ὅτι μὴ τὴν πολιτικὴν εὔνοιαν, ἧς οὐδὲ τὸν ἐξ ἀνθρώπων πλοῦτον ἡγεῖσθαι τιμιώτερον. Οἱ δὲ περὶ αὐτὸν συνεστῶτες ἀεὶ σωτῆρα καὶ πατέρα καὶ κτίστην ἀπεκάλουν (14) τῆς πατρίδος· καὶ τὴν μὲν ὑπατικὴν ἐξουσίαν ἐλάττονα χάριν ἢ κατὰ τὸ μέγεθος τῶν ἔργων αὐτοῦ γενήσεσθαι δοθεῖσαν ἀπέφαινον, ἄλλῃ δέ τινι μείζονι καὶ λαμπρᾷ τιμῇ κοσμεῖν ἠξίουν αὐτὸν, ἣν καὶ τὸ γένος ἕξει τὸ ἐξ ἐκείνου. Ὡς δὲ καὶ τὴν τρίτην ἔξοδον ποιησάμενος ἐπὶ τὰ παραθαλάττια τῆς Ἰταλίας, ἔκ τε Κύμης καὶ τῶν περὶ Μίσηνον λιμένων σιτηγοὺς ὁλκάδας ἄγων πολλὰς κατέπλευσεν εἰς Ὠστίαν, ὃ τῆς Ῥώμης ἐστὶν ἐπίνειον, καὶ κατέπλησε (15) ταῖς τροφαῖς τὴν πόλιν, ὡς μηδὲν ἔτι τῆς ἀρχαίας εὐετηρίας διαφέρειν, ἅπας ὁ δῆμος ἕτοιμος ἦν, εἰ γένοιτο τῆς ψήφου κύριος ἐπ' ἀρχαιρεσίαις, εἴτε ὑπατείαν εἴτε ἄλλην τινὰ τιμὴν μετίοι, μηδενὸς ἐπιστρεφόμενος (16) μήτε νόμου κωλύοντος μήτ' ἀνδρὸς ἐναντιουμένου, χαρίζεσθαι. Ταῦτα δρῶντες οἱ προεστηκότες τῆς ἀριστοκρατίας, καὶ οὔτε ἐπιτρέπειν ἀξιοῦντες οὔτε κωλύειν δύναμιν ἔχοντες, ἐν πολλῇ πάντες ἦσαν ἀθυμίᾳ· καὶ ἔτι μᾶλλον διεταράχθησαν, ἐπειδὴ κωλυόντων ἐκκλησίας συνάγειν αὐτὸν καὶ δημηγορεῖν τῶν τε δημάρχων καὶ ὑπάτων, συστραφεὶς ὁ δῆμος ἐκείνους μὲν ἐξέβαλεν ἐκ

factorum arrogantia, tum sermonibus quos de se jactabat superbissimis. Nam conspicuo sedens in suggestu, uti publici magistratus solent, quotidie accedentibus de frumentorum largitione responsa dabat, ejecto quasi L. Minucio, qui senatus decreto præfectus annonæ creatus erat; deinde crebras conciones habens (quanquam conciones habere apud Romanos non licet privato), multis Minucium apud populum accusabat, utpote qui nomen tantum magistratus præ se ferret, opus pauperibus utile edidisset nullum; multa etiam in patricios sevit, quippe qui id agerent ut ad paucitatem populum redigerent ac potestatem ejus frangerent, qui in tanta annonæ caritate pauperum curam ne minimam quidem haberent, neque in communi omnes, neque privatim divites; quanquam omnium maxime hos potissimum deceret opibus suis et personis, uti ipse videlicet, nihil non pati, ut undique frumenta in urbem introducerentur. Denique studia patriciorum cum suis ipsius rebus gestis comparans, quam diversa et plane contraria sibi essent demonstrare instituebat. Illos enim non modo de suis in rempublicam nihil expendere, sed etiam publicos usurpare agros, ex iisque a multo inde tempore fructus percipere; se vero non modo nihil boni publici habere, sed paternas etiam opes erogare in auxilium indigorum; et exhausta hereditate pecunias mutuas ab amicis esse sumpturum, nec quidquam pro tanta liberalitate se petere præter populi benevolentiam, quam omnibus divitiis humanis præferendam esse censeret. Tum circumstantes servatorem et patrem et conditorem patriæ appellitare, atque consularem potestatem dicere minorem fore quam pro accepti beneficii magnitudine gratiam; aliis quibusdam majoribus splendidioribusque ornandum honoribus esse, qui etiam ad prosapiam ejus essent perventuri. Ubi deinceps etiam tertio itinere in maritima Italiæ suscepto, e Cumæ et Miseni portubus cum frumentariis navibus plurimis in Ostiam, quod Romæ navale est, innavigaret, ac tanta annonæ copia urbem repleret, ut nihil pristinæ proventuum felicitatis amplius desideraretur: tum vero populus universus pollicebatur, quando in magistratuum electione penes ipsum suffragia essent, sive consularem sive aliam quamcumque Spurius dignitatem ambiret, hanc se, nihil curantem neque leges vetantes neque homines obstrepentes, ei gratificaturum esse. Hæc videntes optimatium principes quum neque concedere vellent neque possent impedire, in summa omnes perplexitate versabantur. Ac mox in majus aucta animorum consternatio est, ubi tribunos consulesque, ne conciones Mælius haberet prohibituros, e foro plebs tumultuans ejecit, eoque multum

ϱος ἔτι. Dein cod. ὑπεριφανίας. — 9. πράττοντας] πράττοντες et mox ὀλίγους codex. — 10. πάντων] παντὸς codex. — 11. Post vocem διαφέροντα in eadem linea sequuntur: μετὰ δὲ τρεῖς ἢ τέτταρας et reliqua Polybiana, quæ dedimus supra. Continentur hæc nostri codicis lineis 53, quæ in codice, ex quo nostra descripta sunt, unum implebant folium. Codex Escor. singulis foliis lineas sexaginta continet. — 12. πολὺν] πολλὴν... ἑαυτὸν δὲ τὴν δημοσίων.. καταχωρηγεῖν cod. — 13. οὐδὲν] οὐθὲν h. l. codex. — 14. ἀπεκ.] ἀποκ. codex; mox ἐλάττωνα id. — 15. κατέπλησε] ὠστίαν.. ἐπίνεον.. κατέπαυσε codex. — 16. ἐπιστρεφόμενος] ἐπιτρέποντος cod.

τῆς ἀγορᾶς, τῷ δὲ Μαλλίῳ πολλὴν ἄδειαν καὶ ῥώμην παρέσχεν. Ἐν τοιαύτῃ δὴ καταστάσει τῆς πόλεως ὑπαρχούσης, ὁ τῆς ἀγορᾶς ἀποδειχθεὶς ἔπαρχος, ἀχθόμενος μὲν ἐπὶ τοῖς προπηλακισμοῖς τῶν λόγων, οἷς αὐτὸν ὑβρίζων ὁ Μάλλιος ἐν ταῖς ἐκκλησίαις διετέλει, δεδοικὼς δὲ τὸν ἄνδρα μάλιστα τῶν ἄλλων, εἴ τινος ἐπιλάβοιτο ἀρχῆς, μὴ πρότερον τῆς ἀριστοκρατίας αὐτὸν ποιήσηται, ἢ τὸν δῆμον ἐξερεθίσας πρὸς αὐτὸν ποιήσηται (17) διὰ τὴν ἐκ τῆς ἑταιρείας ἐπιβουλήν τινα κατ' αὐτοῦ μηχανησάμενος· ἀγανακτῶν τε (18) δι' ἀμφότερα ταῦτα καὶ ἀπηλλάχθαι προθυμούμενος ἐκείνου, μείζονα ἢ κατ' ἰδιώτην ἰσχὺν ἔχοντος, ἐπιμελῆ ζήτησιν ἐποιεῖτο τῶν ὑπ' αὐτοῦ λεγομένων τε καὶ πραττομένων. Πολλῶν δὲ ὄντων, οἷς ὁ ἀνὴρ συνεργοῖς ἐχρῆτο τῶν ἀπορρήτων, καὶ οὔτε τὰς φύσεις ὁμοίων οὔτε τὰς γνώμας παραπλησίων, ἔμελλέ τις, ὅπερ εἰκὸς, οὐ βέβαιος αὐτῷ (19) ἔσεσθαι φίλος, ἢ διὰ φόβον ἢ διὰ κέρδος ἴδιον, ᾧ τὰ πιστὰ δοὺς ὁ Μινούκιος ὑπὲρ τοῦ μηδενὶ φράσειν ὅστις ἦν, ἅπασαν ἔγνω τήν τε διάνοιαν τοῦ Μαλλίου καὶ τὴν παρασκευήν. Ὡς δὲ καὶ τεκμήριον ἔλαβεν ἀναμφίλεκτον (20), καὶ τὴν πρᾶξιν ἐν χερσὶν οὖσαν ἔγνω, λέγει πρὸς τοὺς ὑπάτους. Ἐκεῖνοι δὲ οὐκ ἀξιοῦντες ἐφ' ἑαυτοῖς ποιῆσαι μόνοις ἐπιχειρήσεως τηλικαύτης ἐξέτασιν, εἰς τὴν βουλὴν ᾤοντο δεῖν τὸ πρᾶγμα εἰσφέρειν (21). Καὶ συνεκάλουν τὸ συνέδριον εὐθὺς, ὡς περὶ πολέμου δή τινος ὑπερορίου βουλευόμενοι. Πληρωθέντος δὲ τοῦ συνεδρίου διαταχέων παρελθὼν ἅτερος αὐτῶν ἔλεξεν ὅτι πρᾶξις αὐτοῖς μεμήνυται συσκευαζομένη κατὰ τῆς πόλεως, πολλῆς πάνυ καὶ ταχείας φυλακῆς δεομένη διὰ τὸ τοῦ κινδύνου μέγεθος. Ταύτης δ', ἔφη, μηνυτὴν οὐ τῶν ἐπιτυχόντων εἶναί τινα πολιτῶν, ἀλλ' ὃν αὐτοὶ δι' ἀρετὴν ἐπὶ τῆς μεγίστης τε καὶ ἀναγκαιοτάτης τῷ κοινῷ χρείας ἔταξαν, δοκιμάσαντες αὐτοῦ τήν τε πίστιν καὶ τὴν πρὸς τὰ κοινὰ φιλοτιμίαν ἐκ τῶν παρὰ πάντα τὸν βίον ἐπιτηδευομένων. Μετεώρου (22) δὲ τῆς βουλῆς ἐπὶ τῇ προσδοκίᾳ γενομένης, ἐκάλει τὸν Μινούκιον. Κἀκεῖνος ἔλεξεν· Ζήτει ἐν τῷ Περὶ δημηγοριῶν (23).

Ὡς δὲ ἐμηνύθη τῇ βουλῇ, δικτάτορα προχειρίζονται·

securitatis Mælio et roboris conciliavit. Quum ita res haberent, præfectus annonæ (L. Minucius) ægre quidem ferens verborum contumelias, quibus insolenter Mælius in concionibus ipsum insectari consueverat, simul vero metuens virum quam maxime, ne scilicet, ubi magistratum aliquem nactus fuerit, supra optimates se extollens imperium eorum everteret, aut multitudine contra Minucium excitata per factionis suæ machinationem in illum aliquid moliretur; et horum ob utrumque indignatus ac removere studens virum majori quam pro privato pollentem potentia, verba ejus factaque diligenter observare et explorare cœpit. Ac quum permultis Mælius uteretur consiliorum clandestinorum sociis, quibus non eadem omnibus esset mens et indoles, accidit, quod erat consentaneum, ut existeret inter eos amicus parum fidus sive metu sive privati spe lucri. Huic igitur data fide haud se nomen ejus proditurum spondens, quæ animo Mælius volveret et jam præpararet, cuncta rescivit. Nuntiata quum documentis dubitationem præscindentibus confirmasset, ac jam in manibus rem esse cognovisset, refert eam ad consules. Hi vero existimantes non esse penes se, ut ipsi soli in tanta molimina inquererent, ad senatum rem deferendam esse censuerunt. Itaque confestim curiam convocant, quasi de bello aliquo extero deliberaturi. Simulac plenus erat senatus, prodiens alter consulum delatam sibi dicit rem contra civitatem susceptam tantique periculi, ut summa diligentia celeritateque sit præcavendum. Delatorem vero non ex obviis quibusque civibus esse, sed quem ipsi propter virtutem muneri gravissimo commodisque reipublicæ quam maxime necessario præfecissent, cujus fidem et erga civitatem benevolentiam ex anteactæ vitæ studiis haberent comprobatam. Quibus dictis, in senatum exspectatione suspensum invocat Minucium, qui hunc in modum locutus est. *Vide in Excerptis De concionibus.*

Exposita delatione, senatus dictatorem creavit, qui

7. ποιήσηται] verbum ποιήσηται procul dubio ex antecc. male repetitum; quo commisso, aliquis verbum finitum μηχανήσηται mutavit in μηχανησάμενος. — 18. ἀγανακτῶντε] ἀγανακτῶντες codex. — 19. αὐτῷ vel αὐτοῦ] αὐτὸν codex. — 20. ἀναμφ.] ἀναφ. cod. — 21. εἰσφέρειν] ἐφερεῖν cod. — 22. μετεώρου] μετέωρον cod. — 23. Interruptam narrationem e Livio IV, 13 supplere quodammodo licet: *Hic Minucius eandem publice curationem agens, quam Mælius privatim agendam susceperat, quum in utraque domo idem genus hominum versaretur, rem compertam ad senatum refert: tela in domum Mælii conferri eumque conciones domi habere: ac non dubia regni consilia esse. Tempus agendæ rei nondum stare; cetera jam convenisse; et tribunos mercede emptos ad prodendam libertatem, et partita ducibus multitudinis ministeria esse. Serius se pæne quam tutum fuerit, ne cujus incerti vanique auctor esset, ea deferre. Quæ postquam sunt audita, et undique primores patrum et prioris anni consules increparent, quod eas largitiones cœtusque plebis in privata domo passi essent fieri, et novos consules, quod exspectassent, donec a præfecto annonæ tanta res ad senatum deferretur, quæ consulem non auctorem solum desideraret, sed etiam vindicem: tum T. Quinctius, consules immerito increpari ait, qui constricti legibus de provocatione ad dissolvendum imperium latis, nequaquam tantum virium in magistratu ad eam rem pro atrocitate vindicandam, quantum animi, haberent. Opus esse non forti solum viro, sed etiam libero exsolutoque legum vinculis. Itaque se dictatorem L. Quinctium dicturum: ibi animum parem tantæ potestati esse. Approbantibus cunctis, primo Quinctius abnuere, et, quid sibi vellent, rogitare, qui se ætate exacta tantæ dimicationi objicerent. Dein, quum undique plus in illo senili animo non consilii modo, sed etiam virtutis esse quam in omnibus aliis dicerent, laudibusque haud immeritis onerarent, et consul nihil remitteret: precatus tandem deos immortales Cincinnatus, ne senectus sua in*

ὁ δὲ τὸν ἱππάρχην * ἐκέλευσεν ἔχοντι (24) τοὺς ἱππεῖς ἥκειν ὡς αὐτὸν περὶ μέσας νύκτας· τοῖς δὲ βουλευταῖς, εἰς τὸ Καπιτώλιον ἕωθεν ἔτι συλλέγεσθαι· τῷ τε Μινουκίῳ τόν τε μηνυτὴν ἄγοντι καὶ τὰς ἄλλας ἀποδείξεις κομίζοντι πρὸς τὸ βῆμα παρεῖναι· ἅπασιν δὲ φυλάττειν ἀπόρρητα πρὸς τοὺς ἔξω τοῦ συνεδρίου τὰ βουλεύματα· μίαν εἶναι λέγων ἀσφάλειαν, εἰ μηδὲν ὁ Μάλλιος ἀκούσειε τῶν περὶ αὐτοῦ λεγομένων τε καὶ πραττομένων. Διατάξας δὲ τἄλλα ὅσων ἐδεῖτο, μέχρι δύσεως ἡλίου πάντας ἐν τῷ βουλευτηρίῳ κατασχὼν, σκότους ὄντος ἤδη διέλυσε τὸν σύλλογον. Ὡς δὲ μέση νὺξ ἐγένετο, προελθὼν ἐκ τῆς οἰκίας ἐξῄει (25) περὶ τὸν ὄρθρον τοὺς ἐπιλέκτους ἀμφοτέρων τῶν ὑπάτων ἐπαγόμενος καὶ αὐτοὺς τοὺς ὑπάτους. Οὗτοι μὲν οὖν τὸ Καπιτώλιον ἅμα τοῖς βουλευταῖς ἕωθεν κατειληφότες ἐφρούρουν· ὁ δὲ Μάλλιος οὐδὲν ἀκηκοὼς τούτων, ἡμέρας γενομένης, προελθὼν εἰς τὴν ἀγορὰν ἐχρημάτιζε τοῖς δεομένοις ἐπὶ τοῦ βήματος καθεζόμενος. Καὶ μετ' οὐ πολὺ παρῆν ὁ ἵππαρχος Σερουίλιος πρὸς αὐτὸν ἄγων τοὺς ἀκμαιοτάτους τῶν ἱππέων, ἔχοντας ὑπὸ (26) τοῖς ἱματίοις ξίφη. Καὶ στὰς πλησίον αὐτοῦ λέγει· « Ὁ δικτάτωρ σε κελεύει, Μάλλιε, πρὸς αὐτὸν ἥκειν. » Κἀκεῖνος ὑποτυχὼν, « Ποῖος, ἔφη, κελεύει με, Σερουίλιε, δικτάτωρ πρὸς αὐτὸν ἐλθεῖν; ὅπου καὶ πότε γενόμενος; » Καὶ ἅμα διαταραχθεὶς περιέβλεψεν εἰς τοὺς περὶ τὸ βῆμα. Ἀφασίας δὲ ἅπαντας κατασχούσης διὰ τὸ μηδένα γινώσκειν τὰ πραχθέντα ὑπὸ τῆς βουλῆς, λέγει πάλιν ὁ Σερουίλιος· « Εἰσηγγέλθης χθὲς εἰς τὴν βουλὴν, ὦ Μάλλιε, νεωτέροις ἐπιχειρεῖν πράγμασιν, ἴσως οὐκ ἀληθῶς· οὐδενὸς γὰρ ἄξιον ἀπὸ τῆς αἰτίας προκαταγινώσκειν· ταύτην ἐξετάσαι τὴν μήνυσιν ἡ βουλὴ προελομένη, δικτάτορος ἔφησε δεῖν τοῖς πράγμασιν, ὡς οὐ τὸν ἐλάχιστον τῶν κινδύνων τρέχουσα· καὶ ἀπέδειξε τῆς ἐξουσίας ταύτης κύριον Λεύκιον Κοίντιον Κικιννάτον, ὃν οἶσθα δή που καὶ σὺ κράτιστον ὄντα τῶν πατρικίων καὶ δὶς ἤδη ταύτην ἀνεπιλήπτως τετελεκότα τὴν ἀρχήν. Οὗτος ὁ ἀνὴρ δικαστήριόν σοι καθίσαι καὶ λόγον ἀποδοῦναι βουλόμενος, ἀπέσταλκεν ἡμᾶς, ἐμὲ τὸν ἵππαρχον ἅμα τοῖσδε τοῖς ἀνδράσι, ἄξοντάς σε ἀσφαλῶς ἐπὶ τὴν ἀπολογίαν. Εἰ δὲ μηδὲν ἀδικεῖν πέποιθας, ἴθι καὶ λέγε τὰ δίκαια περὶ σαυτοῦ πρὸς ἄνδρα φιλόπολιν, ὃς οὔτε διὰ τὸν κοινὸν φθόνον οὔτε δι' ἄλλην ἄδικον πρόφασιν οὐδεμίαν ἐκποδὼν ποιῆσαί σε (27) βουλήσεται. » Ὁ δ' ὡς ἤκουσεν, ἀνεπήδα τε καὶ μεγάλα ἀναβοήσας, « Ἄνδρες, ἔφη, δημοτικοὶ, βοηθεῖτέ μοι συναρπαζομένῳ διὰ τὴν πρὸς ὑμᾶς εὔνοιαν ὑπὸ τῶν δυνατῶν· οὐ γὰρ ἐπὶ δίκην καλοῦμαι πρὸς αὐτὸν, ἀλλ' ἐπὶ θάνατον καλοῦμαι. » Βοῆς δὲ γενομένης καὶ θορύβου

equitum magistrum *delegit Servilium*, eumque jussit cum equitibus convenire se circa noctem mediam; senatores autem a primo mane congregari in Capitolium; Minucium vero cum delatore criminis documentisque ad tribunal adesse; cunctos denique cavere, ne in vulgus arcana hæc senatus decreta emanarent; nam hanc unam securitatem fore dixit, si nihil eorum quæ dictis factisque contra Mælium agerentus, ille comperiret. Deinde reliqua, quibus opus erat, disposuit, et ad solis usque occasum in curia omnes detinens tandem abortis jam tenebris concionem dimisit. Nocte media *quum Servilius ad dictatorem* se contulisset, ipse primo diluculo foras progressus viros selectos consulis utriusque et consules ipsos secum abduxit. Hi igitur una cum senatoribus Capitolium primo mane occupatum custodiebant. Mælius autem, omnium horum ignarus, ubi dies illuxerat, in forum prodiit, ac responsa dabat petentibus sedens in suggestu. Nec multo post ad eum venit magister equitum Servilius cum flore equitatus, qui sub veste gestabant gladios. Ac propius accedens, « Dictator, inquit, te, Mæli, ad se venire jubet. » Ad hæc respondens ille : « Quisnam, Servili, me dictator vocat? ubinam est ille et a quo inde tempore? » Simulque perturbatus oculis circumstantem percurrit coronam. Ex qua quum nemo hisceret, quod a senatu facta omnes ignorarent, rursus Servilius ait : « Heri tu, Mæli, ad senatum delatus es, utpote res novas moliens; falso fortasse; nam ex accusatione nihil præjudicandum est. De hac delatione senatus inquirere statuens dictatore opus esse censuit, quippe haud minimo constitutus in periculo. Eamque potestatem commisit L. Quinctio Cincinnato, quem tu quoque nosti procul dubio præstantissimum esse patriciorum, ac bis jam munere hoc summa cum laude perfunctum. Is igitur, ut judicium tibi sistat, ac defendendi te facultatem præbeat, nos misit, me scilicet ac viros hosce, ut ad causam dicendam secure te adducamus. Jam si nullius tibi sceleris conscius es, venias et causam dicas coram viro, qui, quum civium commodis studeat, neque ob communem qua premeris invidiam neque alio ullo prætextu e medio te removere voluerit. » Quibus auditis exsiliens Mælius, summa voce, « Viri populares, clamavit, mihi succurrite, qui ob meam in vos benevolentiam ab optimatibus corripior. Neque enim in judicium a dictatore, sed ad necem vocor. » Editoque circa suggestum

tam trepidis rebus damno dedecorive reipublicæ esset, dictator a consule dicitur : ipse deinde C. Servilium magistrum equitum dicit. — 24. ἔχοντι] quod non mutandum esse in ἔχοντα, sequens suadet dativus τοῖς δὲ βουλευταῖς. Itaque lacunam notavi. Ac omnino male contracta est narratio Dionysii, qui et dictatoris nomen certe et creati ab eo magistri equitum non potuit omittere. Sed hæc excerptor ad insidias suas properans nihil curavit. Contra si quid librarius peccaverit, supplendum τὸν ἱπ. ἀποδείξας vel καλέσας ἐκέλευσε vel tale quid. — 25. ἐξῄει] ἐξίει cod. Ceterum locus noster male truncatus est. Circa mediam noctem Servilius ad dictatorem se conferre jussus erat, ut supra vidimus. Hoc ipsum h. l. commemoratum erat. In seqq. scripsi ἕωθεν pro ἔξωθεν, quod codex præbet. — 26. ὑπὸ] ἐπὶ cod. — 27. ποιῆσαί σε] ποιήσεσαι codex.

πολλοῦ περὶ τὸ βῆμα, συγγνοὺς ὅτι πλείους εἰσὶν τῶν βοηθούντων οἱ συλλαμβάνειν μέλλοντες αὐτὸν, καὶ οὐ μακρὰν ἑτέρους ὑποκαθιεῖσθαι ἐν ὅπλοις, καταπηδᾷ ταχέως ἀπὸ τοῦ βήματος καὶ διὰ τῆς ἀγορᾶς ἐχώρει δρόμῳ, σπεύδων εἰς τὴν οἰκίαν καταφυγεῖν. Καταλαμβανόμενος δὲ ὑπὸ τῶν ἱππέων εἰς ἐργαστήριον εἰστρέχει μαγειρικὸν, καὶ κοπίδα τῶν κρεοκόπων ἁρπάσας παίει τὸν πρῶτον αὐτῷ προσελθόντα· ἔπειτα πολλῶν ἐπιπεσόντων ἀθρόον, ἀμυνόμενος καὶ βραχὺν ἀντισχὼν χρόνον, ἀπεκόπη ὑπό τινος τὸν βραχίονα καὶ πίπτει καὶ κατακοπεὶς ὥσπερ θηρίον ἀποθνήσκει. Μάλλιος μὲν δὴ μεγάλων ὀρεχθεὶς πραγμάτων, καὶ μικροῦ πάνυ δεήσας τῶν Ῥωμαίων ἡγεμονίαν κατασχεῖν, οὕτως ἀζήλου καὶ πικρᾶς καταστροφῆς ἔτυχεν. Ἐξενεχθέντος δὲ εἰς τὴν ἀγορὰν τοῦ νεκροῦ, καὶ γενηθέντος πᾶσι φανεροῦ, δρόμος ἦν καὶ βοὴ καὶ θόρυβος ἁπάντων τῶν κατὰ τὴν ἀγορὰν, τῶν μὲν οἰκτειρόντων, τῶν δὲ ἀγανακτούντων, τῶν δὲ ὁμόσε τοῖς δεδρακόσι (28) χωρεῖν ἐσπουδακότων. Τοιαύτης ταραχῆς γενομένης, μαθὼν ὁ δικτάτωρ ὅτι διαπέπρακται τοῖς ἱππεῦσι τὸ προσταχθὲν ἔργον, κατέβαινεν ἀπὸ τῆς ἄκρας εἰς τὴν ἀγορὰν, τούς τε βουλευτὰς ἐπαγόμενος ἅπαντας καὶ τοὺς ἱππεῖς περὶ ἑαυτὸν ἔχων γυμνὰ φαίνοντας ξίφη· καὶ δημηγορήσας (29) ἐπ' ἐκκλησίας ἀπέλυσε τὸν ὄχλον. Τῶν δὲ δημοτικῶν οἱ [μὲν οὐ] (30) συμβουλεύσαντες τῇ καταλύσει τῆς πολιτείας ἠγανάκτουν καὶ δι' ὀργῆς τὴν ἐπιχείρησιν τοῦ ἀνδρὸς ἐλάμβανον· οἱ δὲ κοινωνήσαντες τῆς συνωμοσίας (31) ἀφειμένοι τοῦ φόβου χαίρειν τε προσεποιοῦντο καὶ τὸ συνέδριον τῶν βουλευμάτων ἐπῄνουν· ὀλίγοι δέ τινες ἐξ αὐτῶν οἱ πονηρότατοι λογοποιεῖν ἐτόλμων ἐν ταῖς (32) ἑξῆς ἡμέραις, ὡς ἀνηρπασμένου πρὸς τῶν δυνατῶν τοῦ Μαλλίου, καὶ διαστασιάζειν τὸν δῆμον ἐπεχείρουν, οὓς ἀφανεῖ θανάτῳ διαχρησάμενος ὁ δικτάτωρ, ἐπειδὴ κατέπαυσε τοῦ θορύβου, τὴν ἀρχὴν ἀποτίθεται.

Οἱ μὲν δὴ τὰ πιθανώτατά μοι (33) δοκοῦντες γράφειν περὶ τῆς Μαλλίου τελευτῆς, οὕτω παραδεδώκασι. Λεγέσθω δὲ καὶ ὁ δοκῶν ἧττον εἶναί μοι πιθανὸς λόγος, ᾧ κέχρηται Κίγκιος (34) καὶ Καλπούρνιος, ἐπιχώριοι συγγραφεῖς· οἵ φασιν οὔτε δικτάτορα ὑπὸ τῆς βουλῆς ἀποδειχθῆναι τὸν Κόϊντον, οὔτε ἱππάρχην ὑπὸ τοῦ Κοΐντου τὸν Σερουΐλιον. Γενομένης δὲ τῆς μηνύσεως ὑπὸ τοῦ Μινουκίου, τοὺς παρόντας ἐν τῷ συνεδρίῳ πιστεύσαντας ἀληθῆ τὰ λεγόμενα εἶναι, καὶ (35) γνώμην

clamore et tumultu, ubi animadvertit majorem eorum qui correpturi quam qui defensuri essent numerum, ac jamjam alios in armis submitti, illico de suggestu desiliens per forum cursu se abripuit, ut domum aufugeret. Et quum in eo esset, ut ab equitibus deprehenderetur, in lanii officinam se recipit, ibique primum ad se accedentium arrepto ferit cultro; deinde autem aliis confertim adorientibus, postquam defendens se aliquantisper restitisset, tandem, quum brachium ei ab aliquo præcisum esset, cadit et prostratus belluæ in modum conficitur. Mælius igitur rem magnam sane aggressus, ubi haud multum aberat, quin regnum apud Romanos usurparet, tam miserandum tamque acerbum vitæ exitum nactus est. Elatum vero in forum cadaver quum in omnium venisset conspectum, discursatio erat et clamor et tumultus versantis ibi multitudinis; alii vicem viri lugebant, alii indignabantur, alii manum conserere cum auctoribus cædis properabant. Dum ita tumultuantur, dictator postquam rescivit peregisse equites imperata, in forum descendit cum senatu universo et cum equitibus, qui nudos tenebant gladios. Populumque in concionem vocavit et allocutus eum dimisit. Ceterum e plebe qui conjurationis de evertenda republica non fuerant participes, conamen indigne ferentes Mælio succensebant; socii vero cœptorum, quod metu liberati essent, gaudium simulantes decreta senatus collaudabant; quanquam pauci quidam eorum nequissimi per dies subsequentes fictis sermonibus Mælium ab optimatibus oppressum contendere, plebemque ad rebellionem excitare audebant. Hos in occulto tollendos curavit dictator, ac sedato tumultu magistratum deposuit.

Igitur qui verisimillima mihi videntur de fine Mælii scripsisse, hunc in modum rem tradiderunt. Verum apponam etiam narrationem, minus illam, opinor, probabilem, qua Cincius Alimentus et Calpurnius Piso, Romani scriptores, utuntur. Dicunt hi neque dictatorem a senatu Quinctium creatum, neque magistrum equitum a Quinctio Servilium delectum esse; sed re a Minucio delata, senatores in curia præsentes, quum veram esse delationem nihil

28. τοῖς δεδρακόσι] τῶν δεδρακότων cod. — 29. Ipsam dictatoris orationem excerptor omisit. Desumpta ex ea sunt quæ leguntur in Dionysii Exc. Vatican. De sentent. in Collect. Vat. II, p. 465 ed. Mai. : Ἔχων παρ' ἑαυτὸν ἀνθρώπους ἐξ ἁπάσης συνειλεγμένους κακίας, οὓς ἐσίτιζεν ὥσπερ θηρία κατὰ τῆς πατρίδος. Εἰ μὲν οὖν ὑπήκουσέ μοι, καὶ παρέσχεν ἑαυτὸν ἐν τοῖς νόμοις μένοντα, μεγίστην ἂν τοῦτ' αὐτῷ παρέσχε ῥοπὴν εἰς τὴν ἀπολογίαν, καὶ τεκμήριον οὐκ ἐλάχιστον ἦν τοῦ μὴ βεβουλεῦσθαι κατὰ τῆς πατρίδος· νῦν δ' ὑπὸ τῆς συνειδήσεως ἐλαυνόμενος, ὃ πάσχουσιν ἅπαντες οἱ τὰς ἀνοσίους βουλὰς κατὰ τῶν ἀναγκαιοτάτων σφίσι ποιησάμενοι, τοῦτο ἔπαθε, φυγεῖν [τε] τὸν ἔλεγχον ἔγνω καὶ τοὺς ἥκοντας ἐπ' αὐτὸν ἱππεῖς μαγειρικῇ κοπίδι παίων ἀπήλαυνε. Cf. Livius IV, 15 : *Tumultuantem deinde multitudinem incerta existimatione facti ad concionem vocari jussit; et Mælium jure cæsum pronuntiavit, etiamsi regni crimine insons fuerit; qui vocatus a magistro equitum ad dictatorem non venisset. Se ad causam cognoscendam consedisse; qua cognita, habiturum fuisse Mælium similem causæ fortunam. Vim parantem, ne judicio se committeret, vi coercitum esse*, etc. — 30. μὲν οὐ] supplevi. — 31. κοινωνήσαντες οὖν τῆς καὶ τὸ συνωμ. codex., expunctis verbis οὖν. καὶ. τὸ. — 32. ἐν ταῖς] ἐν ταῖς ἐν ταῖς cod. — 33. μοι] μου cod. — 34. κεχρ. Κίγκιος] κέχριται κίρκεος καὶ καλπουρνίνος cod. — 35. καὶ] Huc transposui particulam, quæ in codice legitur

ἀποδειξαμένου τῶν πρεσβυτέρων τινὸς, ἄκριτον ἦ μὴν (36) ἀποκτεῖναι τὸν ἄνδρα, παραχρῆμα πεισθέντας, οὕτω τὸν Σερουίλιον ἐπὶ τοῦτο τάξαι τὸ ἔργον, νέον ὄντα καὶ κατὰ χεῖρα γενναῖον. Τοῦτον δέ φασι λαβόντα τὸ ξιφίδιον ὑπὸ μάλης, ἐλθεῖν πρὸς τὸν Μάλλιον πορευόμενον ἐκ τῆς ἀγορᾶς· καὶ προελθόντα εἰπεῖν, ὅτι βούλεται περὶ πράγματος ἀπορρήτου καὶ μεγάλου διαλεχθῆναι πρὸς αὐτόν. Κελεύσαντος δὲ τοῦ Μαλλίου μικρὸν ἀποχωρῆσαι τοὺς ἐγγὺς αὐτῷ παρόντας, ἐπειδὴ μονωθέντα τῆς φυλακῆς ἔλαβεν, γυμνώσαντα τὸ ξίφος βάψαι κατὰ τῆς σφαγῆς. Τοῦτο δὲ πράξαντα δρόμῳ χωρεῖν εἰς τὸ βουλευτήριον, ἔτι συγκαθημένων τῶν συνέδρων, ἔχοντα τὸ ξίφος ᾑμαγμένον, κεκραγότα πρὸς τοὺς διώκοντας, ὅτι κελευσθεὶς ὑπὸ τῆς βουλῆς ἀνῄρηκε τὸν τύραννον. Ἀκούσαντας δὲ τὸ τῆς βουλῆς ὄνομα τοὺς ὡρμηκότας παίειν τε καὶ ψάλλειν αὐτὸν, ἀποτραπέσθαι μηδὲν εἰς αὐτὸν παρανομῆσαι. Ἐκ τούτου καὶ τὴν ἐπωνυμίαν τὸν Ἄλαν αὐτῷ τεθῆναι λέγουσιν, ὅτι τὸ ξίφος ἔχων ὑπὸ μάλης ἦλθεν ἐπὶ τὸν ἄνδρα· ἄλας γὰρ καλοῦσι Ῥωμαῖοι τὰς μάλας.

Ἀναιρεθέντος δὲ τοῦ ἀνδρὸς καθ' ἑκάτερον τρόπον, συνελθοῦσα ἡ βουλὴ τήν τε οὐσίαν αὐτοῦ εἶναι δημοσίαν ἐψηφίσατο, καὶ τὴν οἰκίαν ἕως ἐδάφους κατασκαφῆναι. Οὗτος ὁ τόπος ἔτι καὶ εἰς ἐμὲ ἦν ἐν πολλαῖς ταῖς πέριξ οἰκίαις μόνος ἀνειμένος ἔρημος, καλούμενος ὑπὸ Ῥωμαίων Αἰκυμήλιον, ὡς ἂν ἡμεῖς εἴποιμεν ἰσόπεδον μένον· αἰκὸν γὰρ ὑπὸ Ῥωμαίων τὸ μηδεμίαν ἔχον ἐξοχὴν καλεῖται. [Τόπος οὖν Μήλιον ἐξ ἀρχῆς κληθεὶς, ὕστερον] συμφθαρέντων (37) ἀλλήλοις κατὰ τὴν μίαν ἐκφορὰν τῶν ὀνομάτων, αἰκυμήλιον ἐκλήθη. Τῷ δὲ τὴν κατὰ τοῦ Μαλλίου μήνυσιν ἀποδόντι Μινουκίῳ στάσιν ἀνδριάντος ἐψηφίσατο ἡ βουλή.

II. Ὅτι Κοΐντου Σερουιλίου τὸ τρίτον καὶ Γαΐου Μαρκίου Ῥουτίλου [τὸ τέταρτον] ὑπατευόντων (1), κίνδυνοι τὴν Ῥώμην χαλεποὶ καὶ ἀπροσδόκητοι κατέσχον, οὓς εἰ μὴ θεία τις πρόνοια διεσκέδασε, δυεῖν κακῶν θάτερον ἂν αὐτῇ συνέπεσεν, ἢ δόξαν αἰσχίστην ἐνέγκαι ξενοκτονίας, ἢ φόνων ἅψασθαι πολιτικῶν. Ἀφ' ἧς δ' αἰτίας εἰς τούτους ἦλθε τοὺς κινδύνους, μικρὰ τῶν πρόσθεν ἀναλαβὼν δι' ὀλίγων πειράσομαι διελθεῖν. Ἐν τῷ παρελθόντι ἐνιαυτῷ τὸν Σαυνιτικὸν πόλεμον ὑπὲρ ἁπάσης Καμπανίας ἡ τῶν Ῥωμαίων πόλις ἀραμένη καὶ τρισὶ νικήσασα μάχαις τοὺς ἀντιταχθέντας, ἐβούλετο μὲν ἁπάσας ἄγειν τὰς δυνάμεις, ὡς οὐδενὸς ἔτι κινδύνου ταῖς πόλεσι καταλειπομένου. Δεομένων δὲ τῶν Καμπανῶν μὴ καταλιπεῖν αὐτοὺς συμμάχων ἐρήμους, ὡς ἐπιθησομένων σφίσι τῶν Σαυνιτῶν, εἰ μηδεμίαν ἔχοιεν ξενικὴν βοήθειαν, ἔγνω τὸν ἀπαλλάξαντα τοῦ πολέμου τὰς πόλεις ὕπατον Μάρκον Οὐαλέριον, ὅσην ἂν αὐτοὶ βουληθῶσι τρέφειν, στρατιὰν ἐν ταῖς πόλεσι καταλιπεῖν.

dubitassent, atque e senioribus quidam hominem indicta causa occidendum proposuisset, statim persuasos Servilio, viro juveni manuque strenuo, rem exsequendam demandasse. Hunc vero aiunt, gladiolo sub ala occultato, ad Mælium e foro discedentem venisse, et propius aggressum dixisse de re arcana magnique momenti se velle cum eo colloqui. Tum Mælio jubente adstantes paullulum recedere, ubi solum et custodia desertum nactus esset, strinxisse gladium et in jugulum defixisse. Quo perpetrato, eum cursu in curiam, considente adhuc senatu, sese contulisse, manu tenentem ferrum cruentum, et persequentibus alta voce clamantem jussu senatus se peremisse tyrannum. Audito autem nomine senatus, irruentes qui ferirent eum pulsarentque, a cœpto destitisse, ne quid contra leges committerent. Hinc etiam *Ahalæ* cognomen ei dicunt inditum, quod sub *ala* gladium habens ad Mælium accessisset; nam *alas* Romani dicunt, quod Græci μάλας vocant.

Interfecto Mælio, sive hac sive illa ratione res acciderit, conveniens senatus decrevit, ut bona ejus publicarentur, domus solo æquaretur. Atque locus, quo ea steterat, etiam mea adhuc ætate inter multas ædes, quæ circumcirca sunt, solus relinquitur desertus, et a Romanis *Æquimelium* vocatur. Nimirum *æquum* apud Romanos dicitur id quod non habet eminentiam. Itaque locus, quem pridem *Mælium* vocarunt, deinceps corruptis invicem et in unum conflatis nominibus, *Æquimelium* appellatus est. Præterea senatus decrevit, ut delatori Mælii Minucio poneretur statua.

II. Q. Servilio III et C. Marcio Rutilo IV consulibus, in grave periculum Roma præter exspectationem conjecta est, quod nisi divina quædam providentia dissipasset, ex duobus malis accidisset ei alterum : aut enim hospiticidii famam tulisset turpissimam, aut civili se cæde contaminasset. Unde vero in tantum devenerit periculum, re paullo altius repetita, brevi tentabo enarrare. Anno præcedente Romani, bello contra Samnites pro Campania universa suscepto, quum tribus prœliis hostes debellassent, omnem exercitum domum reducere voluerant, quod nullum amplius periculum Campanorum oppidis esset timendum. Rogantibus autem Campanis, ne sociorum præsidio destitutos se relinquerent, quippe quos, nisi peregrinum auxilium tutaretur, denuo Samnites aggressuri forent : decrevit senatus, ut consul Marcus Valerius, qui bello urbes liberaverat, quantam ipsi Campani vellent alere exercitus

---

ante οὕτω τὸν Σερουίλιον. — 36. ἦ μὴν] ἡμὲν cod. — 37. συμφθαρ.] συμφθαρ. δὲ ἀλλήλοις cod. Inclusa supplevi e Dionysii Exc. Vat. p. 486 : τὸ ἰσόπεδον Αἰκομήλιον Ῥωμαῖοι καλοῦσιν· αἶκον γὰρ τὸ μηδεμίαν ἔχον ἐξοχὴν λέγουσι. Τόπον οὖν τινα, Μήλιον ἐξ ἀρχῆς κληθέντα, ὕστερον συμφθαρέντων ἀλλήλοις κατὰ τὴν μίαν ἐκφορὰν τῶν ὀνομάτων, Αἰκομήλιον ἐκάλεσαν.

II. *Fol.* 193, 8 *r.* — 194, 13 *vso.* De re vid. Livius VII, 38 et Appianus Samnit. fr. 1, p. 14 ed. Didot. Cf. Niebuhr. *R. Gesch.* III, p. 72 sqq. — 1. τὸ τρίτον... ὑπατευόντων] codex : τὸ τρίτον ὑπατεύοντος καὶ γαΐου μαρκίου ῥοτύλου ὑπα-

Γενομένης δὲ τῆς ἐξουσίας ταύτης κύριος ὁ ὕπατος, ὅσοις ἦν βουλομένοις ὀψώνια καὶ μισθοὺς φέρεσθαι τῆς φυλακῆς, τούτους καθίστησιν ἐν ταῖς πόλεσιν. Ἐν οἷς ἦν τὸ πλεῖον μέρος ἀνεστίων καὶ καταχρέων καὶ τὴν οἴκοι πενίαν καὶ ἀγνωσίαν ἀσμένως ἀποδιδρασκόντων. Τούτους οἱ Καμπανοὶ ταῖς οἰκίαις ἀναλαμβάνοντες, τραπέζαις τε ὑπεδέχοντο λαμπραῖς καὶ ταῖς ἄλλαις ἐξένιζον φιλοφροσύναις. Πολυτελὴς δὲ καὶ ἁβροδίαιτος ἱκανῶς Καμπανίαν οἰκοῦσι καὶ νῦν ἐστὶ καὶ τότε ἦν ὁ βίος, καὶ πάντα τὸν λοιπὸν ἔσται χρόνον· πολύκαρπόν τε πεδιάδα καὶ πολύβοτον καὶ πρὸς ὑγείαν ἀνθρώποις γεωργοῦσιν ἀρίστην οὖσαν. Κατ' ἀρχὰς μὲν οὖν ἀγαπητῶς οἱ φρουροὶ τὴν φιλοξενίαν τῶν ἀνθρώπων ἐλάμβανον· ἔπειτα διαφθειρόμενοι τὰς ψυχὰς ὑπὸ τοῦ κόρου τῶν ἀγαθῶν πονηροὺς ὑπολογισμοὺς κατὰ μικρὸν ἐλάμβανον· καὶ συνιόντες ἀλλήλοις ἔλεγον, ὡς ἀνοήτων ἀνθρώπων ποιήσουσιν ἔργον, εἰ τοσαύτην καταλιπόντες εὐδαιμονίαν ἐπὶ τὸν ἐν Ῥώμῃ βίον ἀνακάμψουσιν, ἔνθα λυπρὰ μὲν ἡ γῆ, πολλαὶ δὲ εἰσφοραὶ, πολέμων δὲ καὶ κακῶν ἀνάπαυσις οὐδεμία, τὰ δὲ τῶν κοινῶν πόνων ἆθλα παρ' ὀλίγοις, οἱ δὲ ἀσθενεῖς τοῖς βίοις καὶ τῶν καθ' ἡμέραν ἀναγκαίων ἀποροῦντες, καὶ ἔτι μᾶλλον οἱ τὰ χρέα μὴ δυνάμενοι διαλῦσαι τοῖς συμβαλοῦσι· καὶ τὴν ἀνάγκην ἀποχρῶσαν εἶναι σύμβουλον τῶν συμφερόντων σφίσιν ἀποφαίνοντες ἄνευ τοῦ καλοῦ· οὐδ' εἰ πάντες νόμοι τε καὶ ἄρχοντες τὰς ἐσχάτας τιμωρίας ἀπειλοῖεν αὐτοῖς, ἐν Καμπανοῖς ἔτι μεθήσεσθαι τῆς παρούσης εὐδαιμονίας ἔλεγον, καὶ τελευτῶντες εἰς τοσαύτην ἀπόνοιαν ἦλθον, ὥστε καὶ λέγειν ἐτόλμων, « Τί δαὶ καὶ δράσομεν δεινὸν, ἐὰν Καμπανοὺς ἐκβαλόντες τὰς ἐκείνων πόλεις κατάσχωμεν; Οὗτοι γὰρ αὐτοὶ πρότερον οὐκ ἐκ τοῦ πεδίου (2) κτησάμενοι τὴν γῆν κατέσχον, ἀλλὰ ἐπιξενωθέντες Τυρρηνοῖς (3) τοῖς κατοικοῦσιν αὐτὴν, καὶ τοὺς ἄνδρας πάντας διαφθείραντες, τάς τε γυναῖκας αὐτῶν καὶ τοὺς βίους καὶ τὰς πόλεις καὶ τὴν περιμάχητον χώραν παρέλαβον, ὥστε σὺν δίκῃ πείσονται πᾶν ὅτι ἂν πάθωσιν (4) αὐτοὶ τῆς παρανομίας κατάρξαντες καθ' ἑτέρων. Τί δαὶ καὶ τὸ κωλῦσαν ἡμᾶς ἔσται ταῦτα μέχρι τοῦ παντὸς χρόνου καρποῦσθαι τἀγαθά; Σαυνῖται μέν γε καὶ Σιτικηνοὶ καὶ Αὔσονες (5) καὶ πάντες οἱ περίοικοι τοσοῦτον δεήσουσι Καμπανοῖς τιμωροῦντες ἐφ' ἡμᾶς στρατεύειν (6), ὥστε ἀποχρῆν ὑπολήψονταί σφισιν εἰ τὰ ἑαυτῶν ἐάσωμεν ἑκάστοις ἔχειν. Ῥωμαῖοι δὲ ἴσως μὲν καὶ κατ' εὐχὴν δέξονται τὸ πραχθὲν, ἅπασαν ἀξιοῦντες Ἰταλίαν ταῖς αὐτῶν ἀποικίαις κρατεῖσθαι· εἰ δὲ ἀγανακτεῖν προσποιούμενοι, πολεμίους ἡμᾶς κρίναντες * (7), οὐ τοσαῦτα δεινὰ διαθήσουσιν, ὅσα πείσονται πρὸς ἡμῶν· χώραν τε γὰρ αὐτῶν δῃώσομεν, ὅσον ἂν ἡμῖν δοκῇ, καὶ δεσμώτας ἐκ τῶν ἀγρῶν λύσομεν καὶ θεράποντας ἐλευθερώσομεν καὶ μετὰ τῶν ἐχθίστων αὐτοῖς Οὐολούσκων τε καὶ Τυρρηνῶν καὶ Σαυνιτῶν καὶ

partem in urbibus relinqueret. Consul igitur ejus rei ordinandæ arbiter factus, præsidiarios oppidis imposuit quicunque victum et stipendia custodiæ mereri cuperent. Pars major eorum homines erant aris et focis carentes et obærati et paupertatem domesticam et obscuritatem haud inviti deserentes. Hos Campani domibus suis mensisque splendidis excipiebant et in reliquis hospitali liberalitate beabant. Etenim sumptuosa admodum et delicatula Campaniæ incolis vita et nunc est et tunc erat et in omne futurum erit tempus. Nimirum planitiem colunt ubertate fructuum pascuorumque abundantia insignem aerisque temperatura hominibus saluberrimam. Initio igitur gratis animis præsidiarii prodigam hominum hospitalitatem accipiebant, deinde vero bonorum fastidio corrupti prava paullatim inibant consilia. Congredientes inter se dictitare cœperunt, dementiæ fore opus, si ipsi tanta vitæ felicitate relicta Romam reverterentur, ubi solum esset aridum, ubi tributorum pensiones multæ, a bellis malisque requies nulla, ubi ærumnarum pro patria exantlatarum præmia redirent ad paucos, ubi inopia victus quotidiani laborarent re fruentes tenui, et magis adhuc qui fœnera creditoribus solvere non possent : vel necessitate adigi se declarabant, ut commodis suis consulerent, honesti ratione seposita. Quapropter etiamsi leges omnes et magistratus extremas sibi pœnas minitarentur, haud se renuntiaturos præsenti qua in Campania gauderent felicitati. Postremum eo processerunt vecordiæ et audaciæ, ut « Quid demum, dicerent, adeo atrox committemus, si Campanis ejectis urbes eorum occupaverimus? Nam ipsi olim non de suo penu acquirentes terram hanc occuparunt, sed a Tyrrhenis incolis hospitio recepti, viris cunctis trucidatis, uxores eorum et opes et urbes et expetendam istam omni contentione regionem sibi vindicarunt. Igitur jure merito quæque patientur, quum ipsi priores in alios jus et æquum violarunt. Quid denique impediet quominus per omne tempus bonis his fruamur? Samnites certe, Siticeni, Ausones, reliqui populi finitimi tantum aberit ut Campanis auxiliantes expeditionem contra nos suscipiant, ut æqui boni sint facturi, si sua quibusque habere et possidere sinamus. Romanis vero fortasse etiam ex voto res venerit, quippe qui universa Italia coloniarum opera potiri moliuntur : sin iram simulantes hostium loco nos habuerint, non tantis nos afficient damnis, quanta a nobis ipsi accipient : nam ditionem eorum vastabimus pro lubitu, vinctos in agris exsolvemus, servos in libertatem vindicabimus, cum hostibus eorum acerbissimis, Volscis, Tyrrhenis, Samnitibus, nec non cum Latinis, qui nunc

---

τευόντων — 2. num ἰδίου? — 3. τυρανοῖς cod. — 4. fortassis πράξωσιν. — 5. αὔσωνες cod. — 6. ἐφ' ἡμᾶς τε στρατεύειν cod. — 7. κοίναντες] verbum excidit, aut scr. κρίνουσιν.

τῶν ἔτι ἐνδοιαστῶς ἀκροωμένων Λατίνων στησόμεθα· ἠναγκασμένοις δ' ἀνθρώποις καὶ τὸν ἔσχατον περὶ ψυχῆς τρέχουσι δρόμον οὔτ' ἄπορον οὐδὲν οὔτ' ἀντίπαλον.» Τοιαῦτα διαλεγόμενοι πρὸς ἀλλήλους, ὀλίγοι μὲν τὰ πρῶτα, ἔπειτα πλείους ἔγνωσαν ἐπιχειρεῖν ταῖς πόλεσι, καὶ δι' ὅρκων ἐδίδοσαν ἀλλήλοις τὸ πιστόν. Ἔφθασε δὲ τὴν ἐπιχείρησιν αὐτῶν εἰς ἐμφανὲς ἀγαγοῦσα μήνυσις, ἣν τῶν συνωμοσάντων τινὲς ἐποιήσαντο πρὸς τὸν ἕτερον τῶν ὑπάτων Μάρκιον, ᾧ τὸν κατὰ Σαυνιτῶν πόλεμον ὁ κλῆρος ἀπένειμεν, ἤδη παρειληφότι (8) τὰς ἐν τῇ Ῥώμῃ καταγραφείσας δυνάμεις, καὶ ὄντι ἐν ὁδῷ. Ὁ δὲ ὕπατος ἀπροσδοκήτου καὶ δεινοῦ πράγματος ἀκούσας ἔκρινε μὴ λέξειν τὸ πρᾶγμα μήτ' εἰδέναι δοκεῖν, ἀλλὰ δι' ἀπάτης τινὸς καὶ στρατηγίας κωλῦσαι τὰ συμβησόμενα ταῖς πόλεσιν. Ἀποστείλας δή τινας ἅμα τοῖς μηνυταῖς κατασκευαστοὺς εἰς τὰς πόλεις πρὶν αὐτὸν (9) ἐλθεῖν, προσεσκεύασε λέγεσθαι πρὸς τοὺς ἐν ταῖς παραχειμασίαις, ὅτι τὰς μὲν φρουρὰς ἔγνω καταλιπεῖν ἐν ταῖς πόλεσι τὰς τότε οὔσας, ἐπεί γε (10) βουλομένοις ἐστὶν τοῖς Καμπανοῖς αὐτὰς μένειν, τῇ δὲ οἴκοθεν ἀφιγμένῃ σὺν αὐτῷ δυνάμει πολεμεῖν πρὸς Σαυνίτας παρασκευάζεται. Καὶ ἔπεισεν ἅπαντας ταῦτα ὑπολαβεῖν. Ἀφικόμενος δὲ εἰς τὴν Καμπανίαν μετὰ τῆς στρατιᾶς ἁπάσης εἰς ἑκάστην παρῄει πόλιν, καὶ τοὺς ἐν ταῖς φρουραῖς ἀνακαλούμενος διέκρινεν ἁπάντων τοὺς μετασχόντας τῆς συνωμοσίας, ἔπειτα φιλανθρώπως ἑκάστοις διαλεγόμενος, οὓς μὲν ἀπέλυσε τῶν σημείων, ὡς ἂν χαριζόμενος τὴν ἄφεσιν τῆς στρατείας, οὓς δὲ τῷ πρεσβευτῇ καὶ τῷ χιλιάρχῳ παραδοὺς ὡς ἐπὶ χρείας δή τινας στρατιωτικὰς ἀπέλυσε (οὗτοι δ' ἦσαν οἱ πονηρότατοι καὶ οὐχ ὑπομένοντες ἀφεῖσθαι τῆς στρατείας), ἐντειλάμενος τοῖς ἄγουσιν αὐτοὺς εἰς Ῥώμην διακομίσαι καὶ φυλάττειν ἐν ἀδήλοις φυλακαῖς, χωρήσαντας ἄλλους ἀπ' ἄλλων, ἕως ἂν αὐτὸς ἀφίκηται. Τοῖς δὲ ἀνδράσιν ἐνθυμουμένοις ὅτι πάντες οἱ κορυφαιότατοι τῆς συνωμοσίας οἱ μὲν ἀπολύονται τῶν σημείων, οἱ δ' ἀποστέλλονται δίχα τῶν ἄλλων ὁποιδήποτε, λογισμὸς εἰσῆλθε περιφανῆ γεγονέναι σφῶν τὴν συνωμοσίαν, καὶ μετὰ τοῦτο δέος, εἰ χωρὶς ἀλλήλων γένοιντο καὶ τὰ ὅπλα θεῖεν, μὴ δίκας ὑπόσχωσιν εἰς Ῥώμην ἀπαχθέντες. Συνιόντες δὲ κατ' ὀλίγους ἐσκόπουν τί χρὴ πράττειν. Ἔπειτα γνώμην τινὸς εἰσηγησαμένου (11) περὶ ἀποστάσεως, ἐπαινέσαντες τὸ βούλευμα, καὶ πίστεις ἀπορρήτους ἐν ἀλλήλοις ποιησάμενοι, τῆς στρατιᾶς ἀφειμένοι περὶ Ταρρακινὰ πόλιν (12) ἐν ἐπιτηδείοις χωρίοις παρ' αὐτὴν τὴν ὁδὸν στρατοπεδεύονται. Ἔπειθ' οἱ μετὰ τοῦ πρεσβευτοῦ καὶ τῶν χιλιάρχων ἀποστελλόμενοι τοὺς ἡγεμόνας καταλιπόντες, ἔστιν δ' οὓς καὶ τῶν ἀγόντων σφᾶς στρατιωτῶν πείσαντες ἀποστῆναι, περὶ τὸν αὐτὸν ἱδρύονται τόπον. Ὡς δὲ ἅπαξ οὗτοι τὰς παρόδους κατελάβοντο, πολλοὶ προσῄεσαν αὐτοῖς ὁσημέραι. Καὶ γὰρ **

inter utramque partem fluctuant, jungemus societatem. Denique viris, quos in extremo vitæ periculo positos Necessitas agitat, nihil non pervium, nihil non est superabile.» Hujusmodi utentes sermonibus primum pauci, mox complures urbibus vi potiundum esse decernunt ac fidem suam sacramentis invicem obligant. At exitum consiliorum prævertit delatio conjuratorum quorundam, qui totum negotium Marcio consuli patefecerunt. Huic enim bellum Samniticum sorte evenerat, ac tum cum copiis Romæ recens conscriptis jam erat in itinere. Consul, comperta re gravissima et inopinata, non evulgandam sed dissimulandam esse censebat, ut fraude quadam et artificio imperatorio impendentem urbibus tempestatem dissiparet. Itaque subornavit nonnullos, qui in urbes dimissi ante ipsius adventum inter hibernantes ibi milites rumorem spargerent, decrevisse consulem, ut præsidiarii in iisdem quique urbibus anno sequenti manerent, siquidem Campani manere eos vellent, bellum vero contra Samnites eum cum copiis gesturum esse, quas Roma secum eduxisset. Effecitque ut omnibus id persuaderetur. Deinde ubi ipse Campaniam venit cum toto exercitu, singulas urbes circumibat, et nominatim præsidiarios evocans distinguebat inter eos, qui conjurationis participes erant; blandisque unumquemque verbis alloquens, alios sacramento exsolvebat, quasi gratificans eos militia eximeret, alios legato et tribuno tradens per speciem militarium usuum ablegabat (et hi quidem omnium sceleratissimi erant, nec exauctorari volebant); jusserat autem ut Romam ducerentur, ibique alii ab aliis segregati clandestinis custodiis observarentur, usque dum ipse advenisset. Ceterum conjurati reputantes principes ipsorum omnes partim militia exsolvi, partim huc illuc dimitti, perspexerunt consilia sua emanasse, timorque animos incessit, ne, si hoc pacto separati essent armaque posuissent, Romam abducti judicia et pœnas essent subituri. Coeuntes igitur nonnulli dispiciebant quid faciendum esset. Tum proponente quodam de defectione sententiam, collaudantes id consilium et fidem mutuo sibi in occulto obstringentes, relictis castris haud procul a Tarracina urbe in locis idoneis ad ipsam viam considunt. Deinde ii qui cum legatis et tribunis ablegati erant, duces suos deserentes et ex ipsis ducibus nonnullos suadendo ad defectionem pertrahentes, eundem circa locum castra metantur. Qui quum semel transitus occupassent,

8. παρείληψεν ὅτι cod. — 9. αὐτοὺς cod. — 10. ἐπεὶ δὲ cod. Mox malim ἔπεισαν. — 11. τινὰς εἰσηγησαμένων cod. — 12. Ταρακινάπολιν cod. Ad h. l. spectat Steph. Byz.: Ταρρακηνὰ (l. Ταρρακινὰ), πόλις Ἰταλίας. Διονύσιος πεντεκαιδεκάτῳ Ῥωμ.

(13) ἐγένετο περὶ αὐτοὺς καρτερά. Ἔπειτα τὰ δεσμωτήρια ἁπάντων (14), ὅσα κατὰ τοὺς ἀγροὺς ἦν, ἐλύετο καὶ συνέρρει.

III. Οἱ δὲ τῶν Ῥωμαίων ὕπατοι πᾶσαν τὴν μεταξὺ γῆν ἀδεῶς διελθόντες, τῶν μὲν οὐκ ἐναντιουμένων, τῶν δὲ συμπεμπόντων (πολλαὶ δ' εἰσὶ δυσχωρίαι κατὰ τὴν ἐκ Ῥώμης εἰς Καμπανίαν ἄγουσαν ὁδὸν ὄρεσι καὶ τέλμασι καὶ θαλάτταις καὶ ποταμοῖς ναυσιπόροις διακλειόμεναι, ἃς οὐ ῥᾴδιον ἦν διελθεῖν ὑπὸ τῶν πολεμίων προκαταληφθείσας), καί τινα καὶ ποταμὸν, ὃς διὰ τῆς Κασιληνῶν χώρας καὶ πόλεως φέρεται, λ' τῆς Καπύης ἀπέχοντα στάδια, Οὐλτουρνὸν (1) ὄνομα, τεττάρων οὐκ ἔλαττω πλέθρων ὄντα τὸ πλάτος, ξυλίνῃ γεφύρᾳ διαβάντες, ἣν ἐν τρισὶ κατεσκεύασαν ἡμέραις, διεξῄεσαν (2), ἵνα τοῖς μὲν τὰ σφέτερα φρονοῦσι Καμπανῶν θάρσος, ὡς τὰ κράτιστα προῃρημένοις, ἐγγένηται, τοῖς δὲ τἀναντία, δέος. Καὶ προελθόντες ἐπέκεινα τῆς πόλεως, ἀπὸ μ' σταδίων Καπύης, στρατοπεδεύονται ἐν ὑψηλῷ τόπῳ θέντες τὸν χάρακα. Ἔνθα ὑπομένοντες τὰς παρὰ Σαυνιτῶν ἀγορὰς τε καὶ συμμαχίας ἐκαραδόκουν. Οἱ δὲ ἄρα ὑπισχνοῦντο μὲν αὐτοῖς πλείω τῶν ἱκανῶν, ἐπήρκουν δ' οὐδὲν ὅ τι καὶ λόγου ἄξιον· στρατιάν τε γὰρ ἐκ πάσης πόλεως * σκηπτόμενοι κατέτριβον τοὺς χρόνους. Ἀπογνόντες δὴ τῆς ἐκεῖθεν ἐπικουρίας, καὶ τὰς μὲν ἑαυτῶν δυνάμεις ὁρῶντες οὐδὲν ἰσχύος ἐκ τοῦ χρονισμοῦ προσλαμβανούσας, τὰς δὲ τῶν πολεμίων μακρῷ πλείους γινομένας, ἐπὶ τὰ ἔργα χωρεῖν ἔγνωσαν. Ἐνθυμούμενοι δ' ὅτι πολὺ τῆς στρατιᾶς ἐστὶν τὸ δυσάγωγον καὶ ταῖς ἐπιταγαῖς τῶν ἡγεμόνων ἀπειθὲς (3), ὡς ἐν ἄλλαις τε πολλαῖς πείραις ἐδήλωσε καὶ τὰ τελευταῖα ἐν τῇ Καμπανικῇ παραχειμασίᾳ ἀφ' ἧς εἰς τοσαύτην ἀπόνοιαν ἦλθον αὐτῶν τινὲς, ὥστε καὶ πόλεσιν ἐπιθέσθαι, καὶ τὸν ὕπατον καταλιπεῖν καὶ κατὰ τῆς πατρίδος ὅπλα ἀναλαβεῖν, τούτους ᾤοντο δεῖν πρῶτον ἀποδεῖξαι σωφρονεστέρους, δεινότερον ποιήσαντες αὐτοῖς τὸν ἀπὸ τῶν ἡγεμόνων ψόγον ἢ τὸν ἀπὸ τῶν πολέμων (4) κίνδυνον. Ταῦτα διανοηθέντες ἐκκλησίαν συνῆγον· καὶ λέγει Μάλλιος. **Ζήτει ἐν τῷ Περὶ στρατηγημάτων καὶ δημηγοριῶν, ὑπὲρ τοῦ [υἱοῦ τοῦ] ὑπάτου Μαλλίου τοῦ μονομαχήσαντος** (5).

IV. Ὅτι περὶ τὴν Ῥηγίνων πόλιν πάθος γίνεται

alii multi quotidie se adjungebant. Jamque valida admodum numero manus erat. Mox etiam ergastula quotquot eorum in agris erant soluta ad eos confluebant.

III. Consules intermediam regionem universam securi permearunt, aliis nihil hostile suscipientibus, aliis etiam prosequentibus exercitum. Quanquam perdifficilis via est quæ Roma in Campaniam ducit, intercepta montibus, locis palustribus et marinis, fluviisque navigabilibus : quos si hostis præoccupasset, transitu consules facile prohibuisset. Deinde Volturnum fluvium, qui Casilinorum agros et oppidum perfluit, triginta Capua stadiis distantem, trium plethrorum latitudine haud minorem, ponte ligneo, trium opere dierum, transierunt, ut qui cum ipsis faciebant Campanis fiduciam, utpote potiora amplexis, adderent, iis vero, qui hostium se partibus addixerant, incuterent metum. Et ultra urbem progressi usque ad quadraginta a Capua stadia, in loco edito castra metantur, et considentes ibi commeatum manumque auxiliarem a Samnitibus sociis exspectabant. Illi vero quum plus quam opus erat promisissent, nihil tamen quod esset operæ pretium præstabant, et copias e singulis oppidis colligendas causantes ducebant tempus. Desperantes demum de Samnitum auxilio, videntesque ipsorum exercitui nihil virium cunctando accedere, dum hostium numerus magnopere augeretur, operi jam manum admovere decreverunt. Ceterum reputantes disciplinam militarem valde relaxatam esse, adeo ut ægre multi jussibus ducum obtemperarent (id quod tum aliis occasionibus, tum nuper apparuerat in hibernis Campanis, ubi eo dementiæ nonnulli processerant, ut urbes invadere et deserto consule in patriam arma vertere tentarent) : ante omnia milites ad severiorem disciplinæ observantiam reducendos efficiendumque censebant, ut ducum reprehensionem quam bellorum subire pericula gravius haberent. Hunc in finem concione convocata, Manlius dixit **.

Quære in Excerptis De strategematis et De concionibus, de Manlii consulis filio, qui certamine singulari pugnavit.

IV. Rheginorum urbs in gravem incidit calamitatem, ei

ἀρχαιολογίας. — 13. Lacunam notavi. Sensum expressi verbis Livii. — 14. ὑπαντῶν codex. Finis narrationis desideratur, sicuti etiam sequentis fragmenti initium.

Athenæus II, p. 67 A, B : Κτησίας δ' ἐν Καρμανίᾳ φησὶ γίνεσθαι ἔλαιον ἀκάνθινον, ᾧ χρῆσθαι βασιλέα· ὃς καὶ καταλέγων ἐν τῷ περὶ τῶν κατὰ τὴν Ἀσίαν φόρων τρίτῳ βιβλίῳ πάντα τὰ τῷ βασιλεῖ παρασκευαζόμενα ἐπὶ τὸ δεῖπνον οὔτε πεπέρεως μέμνηται οὔτε ὄξους, ὃ μόνον ἄριστόν ἐστι τῶν ἡδυσμάτων. Ἀλλὰ μὴν οὐδὲ Δείνων ἐν τῇ Περσικῇ πραγματείᾳ· ὅς γέ φησι καὶ ἅλα Ἀμμωνιακὸν ἀπ' Αἰγύπτου ἀναπέμπεσθαι βασιλεῖ, καὶ ὕδωρ ἐκ τοῦ Νείλου.

Ἀμμωνιακὸν *L.* consentiente Eustathio p. 1550, 2. Ἀμμωνιακοὺς V.

16.

Plutarch. Alex. c. 36 : Δείνων δέ φησι καὶ ὕδωρ ἀπό τε τοῦ Νείλου καὶ τοῦ Ἴστρου μετὰ τῶν ἄλλων μεταπεμπομένους εἰς τὴν γάζαν ἀποτίθεσθαι τοὺς βασιλεῖς, οἷον ἐκβεβαιουμένους τὸ μέγεθος τῆς ἀρχῆς καὶ τὸ κυριεύειν ἁπάντων. Cf. Brisson. I, c. 83.

17.

Athenæus XIII, p. 556, B : Παρὰ δὲ Πέρσαις ἀνέχεται ἡ βασίλεια τοῦ πλήθους τῶν παλλακίδων, διὰ τὸ ὡς δεσπότην ἄρχειν τῆς γαμετῆς τὸν βασιλέα, ἔτι δὲ καὶ διὰ τὸ τὴν βασιλίδα, ὥς φησι Δείνων ἐν τοῖς Περσικοῖς, ὑπὸ τῶν παλλακίδων θρησκεύεσθαι· προσκυνοῦσι γοῦν αὐτήν.

18.

Athenæus XII, p. 514, A : Καὶ τὸ παράσημον δὲ ὃ ἐπετίθεντο τῇ κεφαλῇ οἱ τῶν Περσῶν βασιλεῖς, οὐδ' αὐτὸ ἠρνεῖτο τὴν τῆς ἡδυπαθείας ἀπόλαυσιν. Κατεσκευάζετο γὰρ, ὥς φησι Δείνων, ἐκ σμύρνης καὶ τοῦ καλουμένου λαβύζου. Εὐώδης δ' ἐστὶν ἡ λάβυζος, καὶ πολυτιμότερον τῆς σμύρνης. Ὁπότε δὲ καὶ ἀπὸ τοῦ ἅρματος κατίοι, φησὶ, βασιλεὺς, οὔτε καθήλλετο ὀλίγου ὄντος ἐπὶ τὴν γῆν τοῦ ὕψους, οὔτε διὰ χειρῶν ἐρειδόμενος, ἀλλ' ἀεὶ αὐτῷ χρυσοῦς δίφρος ἐτίθετο, καὶ τούτῳ ἐπιβαίνων κατῄει· καὶ ὁ βασιλέως διφροφόρος εἰς τοῦτο εἵπετο.

Quæ sequuntur vide in fragm. Heraclidis Cumani.

---

rex cujates illæ essent : quumque intellexisset ex Athenis esse, vetuit ne posthac obsonatores emerent, donec ipsi potestas foret sumendi, si vellet, non emptas. Aiunt autem consulto id eunuchum fecisse, quo in memoriam revocaret regi expeditionem adversus Athenas suscipiendam.

13.

Dulces esse caricas Atticas Dino quoque testatur.

14.

E LIBRO TERTIO.

Dino libro tertio Rerum Persarum ita scribit : « Est autem Potibazis panis hordaceus et triticeus coctus, et cupressina corona, et vinum mixtum in aureo ovo, de quo ipse rex bibit. »

15.

Ctesias ait in Carmania oleum e spina fieri, quo utatur rex. Idem libro tertio de tribulis quæ in Asia penduntur, omnia recensens quæ ad cœnam regi parantur, nec piperis mentionem facit, nec aceti, quod est tamen unum omnium condimentorum optimum; sed ne Dino quidem in Persica historia, qui tamen et salem Ammoniacum ex Ægypto ad regem mitti solitum commemorat et aquam ex Nilo.

16.

Dino narrat aquam quoque ex Nilo et ex Istro haustam inter cetera reges afferri jussisse et in thesaurum condidisse, ut testarentur regni magnitudinem seque omnium dominos esse.

17.

Apud Persas regina multas pellices tolerat, quia rex uxori veluti dominus imperat, nec non propterea, quod, uti Dino in Persicis refert, reginam venerantur pellices atque adorant.

18.

Et ipsum insigne, quod capiti impositum gestabant Persarum reges, voluptatis studium quo tenebantur declarat. Instructum enim erat, ut ait Dino, ex myrrha et ex labyzo, quæ vocatur : est autem labyzus fragrantissima, et pretiosior myrrha. Quoties vero de curru, inquit, descenderet rex, neque desiliebat, etiamsi exigua foret a terra altitudo, neque manibus astantium innitebatur, sed semper apponebatur aurea sella, cui ille insistens descendebat; cujus rei causa semper gestator regiæ sellæ sequebatur.

19.

Athenæus IV, p. 146, C : Ὁ δὲ Περσῶν βασιλεὺς, ὥς φησι Κτησίας καὶ Δείνων ἐν τοῖς Περσικοῖς, ἐδείπνει μετὰ ἀνδρῶν μυρίων πεντακισχιλίων, καὶ ἀνηλίσκετο εἰς τὸ δεῖπνον τάλαντα τετρακόσια.

V. Ctesias fr. 66; Ephippi Olynthii fr. 2.

20.

Plutarch. Themist. c. 27 : Θουκυδίδης μὲν οὖν καὶ Χάρων ὁ Λαμψακηνὸς ἱστοροῦσι τεθνηκότος Ξέρξου πρὸς τὸν υἱὸν αὐτοῦ τῷ Θεμιστοκλεῖ γενέσθαι τὴν ἔντευξιν, Ἔφορος δὲ καὶ Δείνων καὶ Κλείταρχος καὶ Ἡρακλείδης, ἔτι δ' ἄλλοι πλείονες, πρὸς αὐτὸν ἀφικέσθαι τὸν Ξέρξην. Erravit Dinon.

21.

E LIBRO QUARTO.

Athenæus XIII, p. 609, A : Δείνων δ' ἐν τῇ πέμπτῃ τῶν Περσικῶν τῆς πρώτης συντάξεώς φησιν, ὅτι ἡ Βαγάζου γυνὴ, ἥτις ἦν ὁμοπάτριος Ξέρξου ἀδελφὴ, ὄνομα Ἀνοῦτις, καλλίστη ἦν τῶν ἐν τῇ Ἀσίᾳ γυναικῶν καὶ ἀκολαστοτάτη.

Pro πρώτης corrigendum τρίτης. « Si Ctesiæ [fragm. p. 50 a. sqq.] fidem habemus, omnia nomina in istis sunt corrupta. Nam illa mulier impudicissima, de qua loquitur, non Anutis, sed Amytis vocabatur : neque Xerxis fuit soror, sed Xerxis quidem filia, Artaxerxis vero soror. Postremo ejus maritus non Bagazus, sed Megabyzus Ctesiæ multis locis nominatur. Quare ita constituenda lectio fuerit ex ejus mente : ὅτι ἡ Μεγαβύζου γυνὴ, ἥτις ἦν ὁμοπάτριος Ἀρταξέρξῃ ἀδελφὴ, ὄνομα Ἄμυτις κτλ. CASAUBON. Cf. Hemsterhus. ad Lucian. Timon. c. 22.

22.

Plutarch. Artox. c. 1 : Ὁ δὲ Ἀρτοξέρξης Ἀρσίκας πρότερον ἐκαλεῖτο, καίτοι Δείνων φησὶν, ὅτι Ὀάρτης. Ἀλλὰ τὸν Κτησίαν, εἰ καὶ τἆλλα μύθων ἀπιθάνων καὶ παραφόρων ἐμβέβληκεν εἰς τὰ βιβλία παντοδαπὴν πυλαίαν, οὐκ εἰκός ἐστιν ἀγνοεῖν τοὔνομα τοῦ βασιλέως, παρ' ᾧ διέτριβε θεραπεύων αὐτὸν καὶ γυναῖκα καὶ μητέρα καὶ παῖδας. Vide Ctesiæ fragm. 38, p. 69.

23.

Plutarch. Artox. c. 6 : Ἐκ δὴ τούτων μισοῦσα τὴν Στάτειραν ἡ Παρύσατις καὶ φύσει βαρύθυμος οὖσα καὶ βάρβαρος ἐν ὀργαῖς καὶ μνησικακίαις ἐπεβούλευεν αὐτὴν ἀνελεῖν. Ἐπεὶ δὲ Δείνων μὲν ἐν τῷ πολέμῳ (Artaxerxis contra Cyrum) συντελεσθῆναι τὴν ἐπιβουλὴν εἴρηκε, Κτησίας δ' ὕστερον, ὃν οὔτ' ἀγνοεῖν τὸν χρόνον εἰκός ἐστι· κτλ. V. Ctesiæ fragm. p. 75.

24.

Plutarch. Artox. c. 9 : Τὸν μὲν οὖν Ἀρταγέρσην ἀποθανεῖν ὑπὸ Κύρου σχεδὸν ἅπαντες ὁμολογοῦσι· περὶ δὲ τῆς αὐτοῦ Κύρου τελευτῆς ἐπεὶ Ξενοφῶν ἁπλῶς καὶ συντόμως, ἅτε δὴ μὴ παρὼν αὐτὸς, εἶπεν, οὐδὲν ἴσως κωλύει τὰ Δείνωνος ἰδίᾳ καὶ πάλιν τὰ Κτησίου (fr. 49) διελθεῖν.

(Cap. 10.) Φησὶν οὖν ὁ μὲν Δείνων, ὅτι τοῦ Ἀρταγέρσου πεσόντος εἰσελάσας βιαίως ὁ Κῦρος εἰς τοὺς προτεταγμένους τοῦ βασιλέως κατέτρωσεν αὐτοῦ τὸν ἵππον, ὁ δὲ ἀπεῤῥύη· Τηριβάζου δ' ἀναβαλόντος αὐτὸν ἐπ' ἄλλον ἵππον ταχὺ καὶ εἰπόντος αὐτῷ, « Ὦ βασιλεῦ, μέμνησο τῆς ἡμέρας ταύτης, οὐ γὰρ ἀξία λήθης ἐστί, » πάλιν ὁ Κῦρος ἐνσείσας τῷ ἵππῳ κατέβαλε τὸν Ἀρτοξέρξην· πρὸς δὲ τὴν τρίτην ἐπέλασιν δυσ-

---

19.

Rex Persarum, ut scribunt Ctesias et Dino in Persicis, cœnabat cum quindecim millibus virorum, et in cœnam insumebantur talenta quadringenta.

20.

Thucydides et Charon Lampsacenus narrant Themistoclem, mortuo jam Xerxe, filium ejus adiisse; Ephorus vero et Dino et Clitarchus et Heraclides (*Cumanus*) aliique complures ad ipsum venisse dicunt Xerxem.

21.

E LIBRO QUARTO.

Dino libro quinto Persicorum partis primæ (*tertiæ*) tradit Bagazi (*Megabazi s. Megabyzi*) uxorem quæ soror Xerxis (*Artaxerxis*) erat ex eodem patre, Anutis (*Amytis*) nomine, pulcherrimam fuisse Asiæ mulierum, eandemque intemperantissimam.

22.

Artaxerxes ante Arsicas dictus fuit, quamvis Oarten ferat nuncupatum Dino. Verum Ctesiam, etsi alioquin absurdarum et insulsarum in libros suos variam fabularum colluviem infarserit, haud probabile sit tamen appellationem fugisse, in cujus contubernio agebat regis, medicus ejus, uxoris, matris et liberorum.

23.

Hinc exosa Statiram Parysatis, et ingenio mulier in iram et vindictam fero barbaricoque, necare eam est molita. Per bellum Dino hoc scelus prodidit patratum, Ctesias vero (quem non præterire tempus, quum rebus agendis interfuerit, consentaneum est) postea.

24.

Cæsum a Cyro Artagersem fatentur fere omnes. At Cyri fatum quia Xenophon simpliciter et strictim ut qui ipse non interfuerit, percurrit : nihil sane causæ est quin ea quæ prodidit Dino, seorsum, inde Ctesiæ narrationem referamus.

Refert ergo Dino, postquam cecidit Artagerses, invectum magna vi Cyrum in eos qui frontem cohortis regiæ tegebant, equum regis vulnerasse, eumque ex equo defluxisse. Quum Tiribazes propere regem in alium equum imposuisset, additis hisce verbis : Memineris, rex, hujus diei, neque enim

ανασχετήσας ὁ βασιλεὺς καὶ εἰπὼν πρὸς τοὺς παρόντας, ὡς βέλτιόν ἐστι μὴ ζῆν, ἀντεξήλαυνε τῷ Κύρῳ προπετῶς καὶ ἀπερισκέπτως εἰς ἐναντία βέλη φερομένῳ, καὶ βάλλει μὲν αὐτὸς ἀκοντίῳ, βάλλουσι δ' οἱ περὶ αὐτόν. Πίπτει δ' ὁ Κῦρος, ὡς μὲν ἔνιοι λέγουσι, πληγεὶς ὑπὸ τοῦ βασιλέως, ὡς δ' ἕτεροί τινες, Καρὸς ἀνθρώπου πατάξαντος, ᾧ γέρας ἔδωκε τῆς πράξεως ταύτης ὁ βασιλεὺς ἀλεκτρυόνα χρυσοῦν ἐπὶ δόρατος ἀεὶ πρὸ τῆς τάξεως ἐν ταῖς στρατείαις κομίζειν· καὶ γὰρ αὐτοὺς τοὺς Κᾶρας ἀλεκτρυόνας οἱ Πέρσαι διὰ τοὺς λόφους, οἷς κοσμοῦσι τὰ κράνη, προσηγόρευον.

25.

Plutarch. Artox. c. 13, de prœlio ad Cunaxa commisso : Ἐξεληλάκει δ', ὡς ὁ Κτησίας φησὶν, ἐπὶ τὴν μάχην τεσσαράκοντα μυριάσιν· οἱ δὲ περὶ Δείνωνα καὶ Ξενοφῶντα πολὺ πλείονας γενέσθαι λέγουσι τὰς μεμαχημένας. Cf. Ctesiæ fragm. p. 72.

26.

Plutarch. Artox. c. 19, de Parysatide Statiram veneno interfectura : Θεράπαιναν εἶχε πιστὴν καὶ δυναμένην παρ' αὐτῇ μέγιστον ὄνομα Γίγιν· ἣν ὁ μὲν Δείνων ὑπουργῆσαι τῇ φαρμακείᾳ φησὶ, συγγνῶναι δὲ μόνον ἄκουσαν ὁ Κτησίας. Τὸν δὲ δόντα τὸ φάρμακον οὗτος μὲν ὀνομάζει Βελιτάραν, ὁ δὲ Δείνων Μελάνταν.

Γίνεται δὲ μικρὸν ἐν Πέρσαις ὀρνίθιον, ᾧ περιττώματος οὐδέν ἐστιν, ἀλλ' ὅλον διάπλεον πιμελῆς τὰ ἐντός· ᾗ καὶ νομίζουσιν ἀνέμῳ καὶ δρόσῳ τρέφεσθαι τὸ ζῷον· ὀνομάζεται δὲ ῥυντάκης. Τοῦτό φησιν ὁ Κτησίας μικρᾷ μαχαιρίδι κεχρισμένῃ τῷ φαρμάκῳ κατὰ θάτερα τὴν Παρύσατιν διαιροῦσαν ἐκμάξαι τῷ ἑτέρῳ μέρει τὸ φάρμακον, καὶ τὸ μὲν ἄχραντον καὶ καθαρὸν εἰς τὸ στόμα βαλοῦσαν αὐτὴν ἐσθίειν, δοῦναι δὲ τῇ Στατείρᾳ τὸ πεφαρμαγμένον· ὁ δὲ Δείνων οὐ τὴν Παρύσατιν, ἀλλὰ τὸν Μελάνταν τέμνοντα τῷ μαχαιρίῳ τὰ φαρμασσόμενα τῶν κρεῶν τιθέναι κατὰ τὴν Στάτειραν. Cf. Ctesiæ fr. 45, p. 76.

27.

Cornel. Nepos Conon. c. 5 : *Clam dare operam cœpit* (Conon), *ut Ioniam et Æoliam restitueret Atheniensibus. Id quum minus diligenter esset velatum, Tiribazus, qui Sardibus præerat, Cononem evocavit, simulans ad regem eum se mittere velle magna de re. Hujus nuntio parens quum venisset, in vincula conjectus est, in quibus aliquamdiu fuit. Inde nonnulli eum ad regem abductum ibique perisse scriptum reliquerunt. Contra ea Dinon historicus, cui nos plurimum de rebus Persicis credimus, effugisse scripsit; illud addubitat, utrum Tiribazo sciente, an imprudente sit factum.*

Reliqua quæ de Conone Persarum navarcho Cornelius habet, ex eodem Dinone maximam partem fluxisse ex nostro loco licet augurari.

28.

Plutarch. Artox. c. 21 : Ὁ δ' Ἀνταλκίδας Σπαρτιάτης ἦν, Λέοντος υἱὸς, καὶ σπουδάσας βασιλεῖ διεπράξατο τὰς ἐν Ἀσίᾳ πόλεις Ἑλληνίδας ἁπάσας καὶ νήσους, ὅσαι προσκυροῦσιν Ἀσίᾳ, παρεῖναι Λακεδαιμονίους αὐτῷ κεκτῆσθαι φόρων ὑποτελεῖς, εἰρήνης γενομένης τοῖς Ἕλλησιν, εἰ δεῖ τὴν τῆς Ἑλλάδος ὕβριν καὶ προδοσίαν εἰρήνην καλεῖν, ἧς πόλεμος οὐδεὶς ἀκλεέστερον ἤνεγκε τέλος τοῖς κρατηθεῖσι. Διὸ καὶ τοὺς ἄλλους Σπαρτιάτας ἀεὶ βδελυττόμενος ὁ Ἀρτοξέρξης καὶ νομίζων, ὥς φησι Δείνων, ἀνθρώπων ἁπάντων ἀναιδεστάτους εἶναι, τὸν Ἀνταλκίδαν ὑπερηγάπησεν εἰς Πέρσας ἀναβάντα. Καί ποτε λαβὼν ἕνα τῶν ἀνθινῶν στεφάνων καὶ βάψας εἰς μύρον τὸ πολυτελέστατον ἀπὸ δείπνου

mandanda est oblivioni : Cyrum admisso iterum in Artoxerxem equo concussum deturbasse. Ad tertium incursum irritatus rex, præsentesque affatus, Satius sibi esse non vivere, infestus equum in Cyrum concitat, temere et cæco impetu in adversa tela ruentem : feritque Cyrum ipse jaculo, ferit etiam cohors ejus. Ibi Cyrus, ut nonnulli dictitant, cadit ictu regis : ut alii, ab homine Care percussus. Quem præmio rex hujus facinoris donavit, ut in bello gallum aureum ex summa lancea perpetuo ante signa ferret. Etenim ipsos Caras Persæ gallos, cristarum causa quibus exornant galeas, appellabant.

25.

Eduxerat Artoxerxes, ut Ctesias auctor est, in aciem quadringena millia. Dino et Xenophon multo plures fuisse qui conflixere, memorant.

26.

Ancillam habebat fidam, quæ plurimum apud ipsam poterat, Gigim dictam : quam administram veneni Dino tradit fuisse, consciam modo invitam Ctesias. Illum qui venenum dedit, hic Belitaram appellat, ille Melantam.

Nascitur apud Persas exigua avis, quæ omni caret excremento habetque intestina omnia adipe differta : unde vento arbitrantur et rore hoc animal vivere; rhyntaces dicitur. Hanc autumat Ctesias cultello quem altero latere illeverat toxico, dissecuisse Parysatidem, atque infecisse alteram partem veneno, partem sinceram et puram ori ingestam ipsam mandisse, Statiræ vero dedisse virulentam. Dino non Parysatidem, sed Melantam medicatas carnes secuisse cultro et Statiræ apposuisse tradit.

28.

Fuit Antalcidas Spartiates, Leontis filius. Hic regis studiosus, effecit ut ei urbes Græcas et insulas quæ contribuuntur Asiæ, permitterent Lacedæmonii, vectigales possidere pace cum Græcis facta, si probrum Græciæ et proditio pax appellanda est, qua bellum nullum fœdiorem victis attulit exitum. Unde Artoxerxes qui a ceteris Spartiatis semper fuit aversus, homines numerans eos esse, ut ait Dino, omnium impudentissimos, profectum in Persidem impense complexus est Antalcidam, coronamque unam ex floribus factam in pretiosissimum demersit unguentum,

ἔπεμψε τῷ Ἀνταλκίδᾳ· καὶ πάντες ἐθαύμασαν τὴν φιλοφροσύνην. Ἦν δ', ὡς ἔοικεν, οὗτος ἐπιτήδειος ἐντρυφηθῆναι καὶ τοιοῦτον λαβεῖν στέφανον ἐξορχησάμενος ἐν Πέρσαις τὸν Λεωνίδαν καὶ τὸν Καλλικρατίδαν.

29.

Lucian. Macrob. c. 15 (p. 641 Didot.) : Ἀρταξέρξης ὁ Μνήμων ἐπικληθεὶς, ἐφ' ὃν Κῦρος ὁ ἀδελφὸς ἐστρατεύσατο, βασιλεύων ἐν Πέρσαις ἐτελεύτησε νόσῳ ἓξ καὶ ὀγδοήκοντα ἐτῶν γενόμενος, ὡς δὲ Δείνων ἱστορεῖ, τεττάρων καὶ ἐνενήκοντα.

Ex Dinone Plutarch. Artox. c. 30 extr. : Προσπεσόντος αὐτῷ (Ἀρτοξέρξῃ) τοῦ περὶ τὸν Ἀρσάμην πάθους οὐδ' ὀλίγον ἀντέσχεν, ἀλλ' εὐθὺς ὑπὸ λύπης καὶ δυσθυμίας ἀπεσβέσθη, βιώσας μὲν ἐνενήκοντα καὶ τέσσαρα ἔτη, βασιλεύσας δὲ δύο καὶ ἑξήκοντα [num δύο καὶ τεσσαράκοντα? Vide Clinton. F. Hell. p. 316].

30.

Plutarchus De Isid. et Os. c. 31 (p. 363, C) : Ægyptii asinum putant animal impurum et plane δαιμονικὸν et Typhoni simile tum ob inertiam et petulantiam tum ob colorem. Διὸ καὶ τῶν Περσικῶν βασιλέων ἐχθραίνοντες μάλιστα τὸν Ὦχον ὡς ἐναγῆ καὶ μιαρὸν, ὄνον ἐπωνόμασαν. Κἀκεῖνος εἰπὼν, Ὁ μέντοι ὄνος οὗτος ὑμῶν κατευωχήσεται τὸν βοῦν, ἔθυσε τὸν Ἆπιν, ὡς Δείνων ἱστόρηκεν.

Ægyptum Ochus recuperavit a. 350 a. Chr. (v. Clinton, p. 376).

Heraclides Cumanus.

Dinoni subjungo Heraclidem Cumanum, incertæ ætatis scriptorem, etsi ex ordine, quo nomina auctorum ap. Plutarch. Themist. c. 27 (v. Dinon. fr. 6) se excipiunt, probabile est eum non modo Dinone, sed etiam Clitarcho fuisse juniorem.

Diogenes Laert. V, 93 Heraclidas suos recensens, post duos Ponticos ponit alteros duos Cumanos (*). Τρίτος, ait, Κυμαῖος γεγραφὼς Περσικὰ ἐν πέντε βιβλίοις· τέταρτος, Κυμαῖος, ῥήτωρ Τέχνας συγγεγραφώς (De hoc cf. Westermann. *Gesch. d. Bereds.* § 78, 1). Deinceps ponuntur Heraclides Calatianus sive Alexandrinus (quem sub Ptolemæo Philometore circa Ol. 150 vixisse novimus ex Suida s. v. Ἡρακλείδης Ὀξυρυγχίτης) et Heraclides Alexandrinus, qui Περσικὰ ἰδιώματα scripsit. Hunc, quem postremum nominavi, non diversum esse a Cumano Persicorum auctore suspicor.

Opus de rebus Persarum compositum in duas partes Heraclides distribuisse videtur. Prior Παρασκευαστικά inscripta, duos minimum libros complexa distincte et uberrime exposuit quæcunque ad ἰδιώματα, i. e. ad mores, ritus, instituta Persarum spectabant (fr. 1—5); in posteriore ipsam regum historiam explanavit (fr. 6—7).

ΠΕΡΣΙΚΑ.

I.

ΠΑΡΑΣΚΕΥΑΣΤΙΚΑ.

E LIBRO PRIMO.

Athenæus XII, p. 514, B : Φυλάσσουσί τε αὐτὸν (sc. regem Persarum) καὶ τριακόσιαι γυναῖκες, ὡς ἱστορεῖ ὁ Κυμαῖος Ἡρακλείδης ἐν πρώτῃ Περσικῶν. Αὗται δὲ τὰς μὲν ἡμέρας κοιμῶνται, ἵνα νυκτὸς ἐγρηγορῶσι, τῆς δὲ νυκτὸς ᾄδουσαι καὶ ψάλλουσαι διατελοῦσι, λύχνων καιομένων. Χρῆται δὲ αὐταῖς καὶ πολλάκις ὁ βασιλεὺς διὰ τῆς τῶν μηλοφόρων αὐλῆς. Ἦσαν δὲ οὗτοι τῶν δο-

(*) Alios duos Heraclidas Cumanos memorat Herodotus I, 158 et V, 121. Persicorum auctor fortasse fuit Heraclides Cumanus, qui Heracleæ Ponticæ præfectus est ab Arsinoe, quæ et hanc urbem et Tium et Amastrim ab Amastri Persa conditam a Lysimacho acceperat (Memnon c. VII). Paullo post mortem Lysimachi ab Heracleensibus libertatem recuperantibus Heraclides urbe ejectus est.

---

eamque ex cœna Antalcidæ misit : quem favorem omnes admirati sunt. Ceterum erat, meo judicio, dignus ille quicum rex ageret licenter, et qui talem coronam acciperet, qui inter Persas Leonidam et Callicratidam ignominiose prodidit.

29.

Artaxerxes Mnemo, contra quem Cyrus frater exercitum duxit, Persis imperans morbo vitam finivit annos natus octoginta sex, uti vero Dino tradit, nonaginta quattuor.

30.

Itaque etiam de Persicis regibus maxime exosi Ochum, ut scelestum et impurum, *Asinum* appellarunt Ægyptii; et Ochus hoc fatus : *At enim hic Asinus vestrum bovem epulabitur,* Apim mactavit : ut narrat Dino.

PERSICA.

1.

PRÆPARATORIA.

E LIBRO PRIMO.

Custodiunt regem Persarum trecentæ mulieres, ut narrat Cumanus Heraclides primo libro Persicorum. Hæ interdiu dormiunt, noctu vero vigilant : et per noctem perpetuo canunt citharamque pulsant, ardentibus lucernis. Sæpius autem familiariter his utitur rex per *melophororum* aulam. Erant autem hi satellitum quoddam genus, omnes origine Persæ, aurea mala hastis præfixa gestantes; mille numero, pro fortitudinis laude ex illorum decem millium Persarum numero delecti, qui *Immortales* vocantur. Ho-

ῥυφόρων καὶ τῷ γένει πάντες Πέρσαι, ἐπὶ τῶν στυράκων μῆλα χρυσᾶ ἔχοντες, χίλιοι τὸν ἀριθμὸν, ἀριστίνδην ἐκλεγόμενοι ἐκ τῶν μυρίων Περσῶν τῶν Ἀθανάτων καλουμένων. Καὶ διῄει διὰ τῆς τούτων αὐλῆς πεζὸς, ὑποτιθεμένων ψιλοταπίδων Σαρδιανῶν, ἐφ' ὧν οὐδεὶς ἄλλος ἐπέβαινεν, ἢ βασιλεύς. Ὅτε δὲ εἰς τὴν ἐσχάτην αὐλὴν ἔλθοι, ἀνέβαινεν ἐπὶ τὸ ἅρμα· ἐνίοτε δὲ καὶ ἐφ' ἵππου· πεζὸς δὲ οὐδέποτε ἑωράθη ἔξω τῶν βασιλείων. Εἰ δὲ ἐπὶ θήραν ἐξίοι, καὶ αἱ παλλακίδες αὐτῷ συνεξῄεσαν. Ὁ δὲ θρόνος, ἐφ' ᾧ ἐχρημάτιζε καθήμενος, χρυσοῦς ἦν, ὃν περιειστήκεσαν τέσσαρες κιονίσκοι λιθοκόλλητοι χρυσοῖ, ἐφ' ὧν διετέτατο ἱμάτιον ποικίλον πορφυροῦν.

2.

E LIBRO SECUNDO.

Athenæus IV, p. 145, A : Ἡρακλείδης δ' ὁ Κυμαῖος, ὁ τὰ Περσικὰ συγγράψας, ἐν τῷ δευτέρῳ τῶν ἐπιγραφομένων Παρασκευαστικῶν, « Καὶ οἱ θεραπεύοντες (φησὶ) τοὺς Περσῶν βασιλεῖς δειπνοῦντας ἅπαντες λελουμένοι διακονοῦσιν, ἐσθῆτας καλὰς (λευκὰς Ep.) ἔχοντες, καὶ διατρίβουσι σχεδὸν τὸ ἥμισυ τῆς ἡμέρας περὶ τὸ δεῖπνον. Τῶν δὲ τοῦ βασιλέως συνδείπνων οἱ μὲν ἔξω δειπνοῦσιν, οὓς καὶ ὁρᾶν ἔξεστι παντὶ τῷ βουλομένῳ, οἱ δὲ εἴσω μετὰ βασιλέως. Καὶ οὗτοι δὲ οὐ συνδειπνοῦσιν αὐτῷ, ἀλλ' ἔστιν οἰκήματα δύο καταντικρὺ ἀλλήλων, ἐν ᾧ ὁ βασιλεὺς τὸ ἄριστον ποιεῖται, καὶ ἐν ᾧ οἱ σύνδειπνοι. Καὶ ὁ βασιλεὺς ἐκείνους ὁρᾷ διὰ τοῦ παρακαλύμματος τοῦ ἐπὶ τῇ θύρᾳ· ἐκεῖνοι δ' αὐτὸν οὐχ ὁρῶσιν. Ἐνίοτε μέντοι, ἐπειδὰν ἑορτὴ ᾖ, ἐν ἑνὶ οἰκήματι ἅπαντες δειπνοῦσιν, ἐν ᾧ καὶ ὁ βασιλεὺς, ἐν τῷ μεγάλῳ οἴκῳ. Ὅταν δὲ ὁ βασιλεὺς πότον ποιῆται, (ποιεῖ δὲ πολλάκις,) συμπόται αὐτῷ εἰσιν ὡς μάλιστα δώδεκα. Καὶ ὅταν δειπνήσωσιν ὅ τε βασιλεὺς αὐτὸς καθ' αὑτὸν καὶ οἱ σύνδειπνοι, καλεῖ τοὺς συμπότας τούτους τις τῶν εὐνούχων. Καὶ ὅταν εἰσέλθωσι, συμπίνουσι μετ' αὐτοῦ, οὐ τὸν αὐτὸν οἶνον κἀκεῖνοι· καὶ οἱ μὲν χαμαὶ καθήμενοι, ὁ δ' ἐπὶ κλίνης χρυσόποδος κατακείμενος· καὶ ὑπερμεθυσθέντες ἀπέρχονται. Τὰ δὲ πλεῖστα ὁ βασιλεὺς μόνος ἀριστᾷ καὶ δειπνεῖ. Ἐνίοτε δὲ καὶ ἡ γυνὴ αὐτῷ συνδειπνεῖ, καὶ τῶν υἱῶν ἔνιοι. Καὶ παρὰ τὸ δεῖπνον ᾄδουσί τε καὶ ψάλλουσιν αἱ παλλακαὶ αὐτῷ· καὶ μία μὲν ἐξάρχει, αἱ δ' ἄλλαι ἀθρόως ᾄδουσι. Τὸ δὲ δεῖπνον, φησὶ, τοῦ βασιλέως καλούμενον ἀκούσαντι μὲν δόξει μεγαλοπρεπὲς εἶναι, ἐξεταζόμενον δὲ φανεῖται οἰκονομικῶς καὶ ἀκριβῶς συντεταγμένον, καὶ τοῖς ἄλλοις Πέρσαις τοῖς ἐν δυναστείᾳ οὖσι κατὰ τὸν αὐτὸν τρόπον. Ἔστι μὲν γὰρ τῷ βασιλεῖ χίλια ἱερεῖα τῆς ἡμέρας κατακοπτόμενα. Τούτων δ' εἰσὶ καὶ ἵπποι, καὶ κάμηλοι, καὶ βόες, καὶ ὄνοι, καὶ ἔλαφοι, καὶ τὰ πλεῖστα πρόβατα· πολλοὶ δὲ καὶ ὄρνιθες ἀναλίσκονται, οἵ τε στρουθοὶ οἱ Ἀράβιοι, (ἔστι δὲ τὸ ζῷον μέγα,) καὶ χῆνες καὶ ἀλεκτρυόνες. Καὶ μέτρια μὲν αὐτῶν παρατίθεται ἑκάστῳ τῶν συνδείπνων τοῦ βασιλέως, καὶ ἀποφέρεται ἕκαστος αὐτῶν, ὅ τι ἂν καταλίπηται ἐπὶ τῷ ἀρίστῳ. Τὰ δὲ πλεῖστα τούτων τῶν ἱερείων καὶ τῶν σιτίων, οὓς τρέφει βασιλεὺς τῶν τε δορυφόρων, καὶ τῶν πελταστῶν, τούτοις ἐκφέρεται εἰς τὴν αὐλήν· οὗ οἱ ἐδέατροι ἅπαντα μερίδας ποιήσαντες τῶν κρεῶν καὶ τῶν ἄρτων ἴσας διαιροῦνται. Ὥσπερ δὲ οἱ μισθο-

---

rum igitur per aulam transibat rex pedibus, substratis glabris tapetibus Sardianis, super quibus nemini alii præter regem incedere licebat. In extremam aulam ubi perveniebat, rex currum conscendebat; aliquando etiam equum : sed pedibus incedens nunquam conspiciebatur. Venatum vero exeuntem pellices comitabantur. Thronus, in quo sedens jus dicebat aut responsa dabat legationibus, aureus erat : circa quem quattuor stabant columellæ aureæ gemmisque distinctæ; superne prætentum erat purpureum aulæum variegatum.

2.

E LIBRO SECUNDO.

Heraclides Cumanus, is qui Res Persicas conscripsit, secundo libro eorum quos inscripsit Præparatorios : « Qui cœnantibus Persarum regibus ministrant, inquit, omnes id munus obeunt loti, pulcris (*vel* candidis) vestibus induti : et dimidia fere diei parte circa cœnam occupantur. Convivarum autem regis alii foris cœnant; quos spectare, quicumque vult, potest : alii vero intus cum rege. At ne hi quidem cum ipso cœnant : sed sunt duo conclavia ex adverso alterum alteri posita, quorum in uno rex cibum capit, in altero convivæ : et illos quidem rex videt, per velum januæ obductum; illi vero ipsum non vident. Nonnunquam tamen, quum incidit festus dies, in uno eodemque conclavi cœnant hi, in quo et rex, in conclavi majore. Quum vero compotationem rex instituit (id quod sæpius facit), compotant cum eo duodecim maxime. Nempe postquam cœnarunt, seorsum rex, seorsumque ipsi, tum advocat hos compotatores unus ex eunuchis. Qui ubi regem convenerunt, bibunt cum eo; nec vero idem vinum hi atque ille; et hi quidem humi sedentes, rex vero in lecto recumbens aureis pedibus instructo : denique supra modum temulenti discedunt. Plerumque vero rex solus et prandet et cœnat : interdum vero uxor cum eo cœnat, et liberorum nonnulli. Et inter cœnandum canunt ei citharamque pulsant pellices, quarum una modos præit, tum ceteræ canunt confertim. Cœna autem, inquit, quæ Regis vocatur, magnifica esse videbitur si quis de ea fando audivit : sin diligentius inquisiverit, prudente quadam frugalitate accurate dispensatam reperiet; pariterque aliorum Persarum cœnam, in imperio aliquo constitutorum. Etenim mille quidem quotidie victimæ regi cæduntur : in quibus sunt et equi, et cameli, et boves, et asini, et cervi, et plurima pars oves; consumuntur vero multæ etiam aves, struthiones Arabici, (vasti corporis animans est) et anseres et galli gallinacei. Et horum quidem modica pars apponitur cuique convivarum regis, et domum auferendum quisque curat quidquid ipsi de prandio superest. Plurima vero pars istarum victimarum ciborumque in usum satellitum et peltastarum, quos alit rex, in aulam defertur : ibi epularum præfecti, carnium et panum æquas facientes partes, omnia distribuunt. Quemadmodum enim mercenarii milites in Græcia pecu-

φόροι ἐν τῇ Ἑλλάδι μισθὸν ἀργύριον λαμβάνουσιν, οὕτως οὗτοι τὰ σιτία παρὰ τοῦ βασιλέως εἰς ὑπόλογον λαμβάνουσιν. Οὕτω δὲ καὶ παρὰ τοῖς ἄλλοις Πέρσαις τοῖς ἐν δυναστείᾳ οὖσιν ἀθρόᾳ πάντα τὰ σιτία ἐπὶ τὴν τράπεζαν παρατίθεται· ἐπειδὰν δὲ οἱ σύνδειπνοι δειπνήσωσι, τῶν ἀπὸ τῆς τραπέζης παραλειπομένων, (καταλείπεται δὲ τὰ πλεῖστα κρέα καὶ ἄρτοι,) ὁ τῆς τραπέζης ἐπιμελούμενος δίδωσιν ἑκάστῳ τῶν οἰκετῶν· καὶ ταῦτα λαβὼν, τὴν καθ' ἡμέραν ἔχει τροφήν. Παρὰ γὰρ τὸν βασιλέα φοιτῶσιν οἱ ἐντιμότατοι τῶν συνδείπνων ἐπὶ τὸ ἄριστον μόνον, διὰ τὸ παρῃτῆσθαι, ἵνα μὴ δὶς πορεύωνται, ἀλλὰ καὶ αὐτοὶ τοὺς συνδείπνους ὑποδέχωνται. »

3.

Etym. M. p. 247, 41 : Δανάκης, νομίσματός ἐστιν ὄνομα βαρβαρικὸν, πλέον ὀβολοῦ, ὃ τοῖς νεκροῖς ἐν τοῖς στόμασιν ἐτίθεσαν (Sequitur fragm. Callimachi 110)· εἴρηται δὲ δανάκης, ὁ τοῖς δαναοῖς ἐμβαλλόμενος· δαναοὶ γὰρ οἱ νεκροί· τουτέστιν ξηροί, δανὰ γὰρ τὰ ξηρά. Ἡρακλείδης ἐν τῷ δευτέρῳ τῶν Περσικῶν.

Cf. Suid. s. v. et Hesych. v. Δανάκη. Pollux IX, 82 : Τὸν δανάκην εἶναί τινές φασι νόμισμά τι Περσικόν. Vide Steph. Thesaur. s. v. Δανάκης, Δανικόν, Ἡμιδανάκη.

4.

Athenæus XII, p. 517, B : Ἡρακλείδης δ' ὁ Κυμαῖος, ὁ τὰ Περσικὰ συγγράψας, ἐν τοῖς ἐπιγραφομένοις Παρασκευαστικοῖς εἰπὼν, ὡς ὁ ἐν τῇ λιβανοφόρῳ χώρᾳ βασιλεὺς αὐτόνομός τέ ἐστι καὶ οὐδενὸς ὑπήκοος, γράφει καὶ ταῦτα· « Οὗτος δ' ὑπερβάλλει τῇ τρυφῇ καὶ ῥαθυμίᾳ. Διατρίβει τε γὰρ ἀεὶ ἐν τοῖς βασιλείοις, ἐν τρυφῇ καὶ δαπάνῃ τὸν βίον διάγων, καὶ πράττει οὐδὲ ἓν πρᾶγμα, οὐδὲ πολλοῖς πλησιάζει, ἀλλὰ δικαστὰς αὐτὸς ἀποδεικνύει· καὶ ἐάν τις αὐτοὺς ἡγῆται μὴ δικαίως δεδικακέναι, ἔστι θυρὶς ἐν τῷ ὑψηλοτάτῳ τῶν βασιλείων, καὶ αὕτη ἁλύσει δέδεται. Ὁ οὖν ἡγούμενος ἀδίκως δεδικάσθαι ἐπιλαμβάνεται τῆς ἁλύσεως, καὶ ἕλκει τὴν θυρίδα, καὶ ὁ βασιλεὺς, ἐπειδὰν αἴσθηται, εἰσκαλεῖ, καὶ αὐτὸς δικάζει. Καὶ ἐὰν φαίνωνται οἱ δικασταὶ ἀδίκως δικάσαντες, ἀποθνήσκουσιν· ἐὰν δὲ δικαίως, ὁ κινήσας τὴν θυρίδα ἀπόλλυται. » Τὰ δ' ἀναλώματα λέγει τῆς ἡμέρας εἰς τὸν βασιλέα καὶ τὰς περὶ αὐτὸν γυναῖκας καὶ φίλους γίνεσθαι τάλαντα πεντεκαίδεκα Βαβυλώνια.

5.

Athenæus II, p. 48, C. : Πρῶτοι δὲ Πέρσαι, ὥς φησιν Ἡρακλείδης, καὶ τοὺς λεγομένους στρώτας ἐφεῦρον, ἵνα κόσμον ἔχῃ ἡ στρῶσις καὶ εὐάφειαν.

Ex Historia regum Persarum.

6.

Plutarch. Themist. c. 27 : Ἔφορος δὲ καὶ Δείνων (fr. 20) καὶ Κλείταρχος καὶ Ἡρακλείδης, ἔτι δ' ἄλλοι πλείονες Themistoclem non ad Artaxerxem, sed ad Xerxem venisse dicunt.

7.

Plutarch. Artox. c. 23 : Ἔνιοι μέντοι λέγουσιν, ὧν ἐστι καὶ Ἡρακλείδης ὁ Κυμαῖος, οὐ μίαν μόνον τῶν θυγατέρων (sc. τὴν Ἄτοσσαν), ἀλλὰ καὶ δευτέραν, Ἄμηστριν, γῆμαι τὸν Ἀρτοξέρξην, περὶ ἧς ὀλίγον ὕστερον ἀπαγγελοῦμεν.

Igitur Heraclidis narrationem habemus c. 27, ubi postquam dixerat Plutarchus Aspasiam *Pho-*

---

niam pro stipendio accipiunt, sic isti a rege accipiunt victum, qui in stipendium illis imputatur. Pari autem modo apud alios Persas, qui alicui imperio præsunt, omnes quidem cibi confertim mensæ imponuntur : sed postquam cœnarunt convivæ, de his quæ a mensa supersunt (superest autem plurima pars et carnium et panum) curator mensæ singulis domesticorum suam cuique portionem distribuit; quam qui accepit, is diurnum victum habet. Nam ad regem convivarum honoratissimi non nisi ad prandium accedunt; quippe qui deprecati sunt, ne bis venire teneantur, quo et ipsi suos excipere convivas possint. »

3.

Danaces, numi nomen barbaricum; obolo major, quem mortuis in os ponunt. Danaces vero appellatur propterea quod δαναοῖς injicitur; nam δαναοί sunt mortui, id est : sicci; nam δανὰ dicuntur sicca. Heraclides libro secundo De rebus Persarum.

4.

Heraclides vero Cumanus, is qui Persica scripsit, postquam in ea parte operis quæ Præparatoria (Introductio) inscribitur, dixit, regem regionis thuriferæ sui juris esse et nullius imperio subjectum, inter alia hæc quoque scribit : « Hic vero in mira luxuria mollitieque vivit. Quippe constanter in regia moratur, vitam in deliciis et sumptuoso luxu transigens : neque quidquam negotii gerit : nec in conspectum multitudinis prodit. Sed judices ipse [*sive*, illis] legit : quos si quis putat injuste judicasse, est in summa parte regiæ ostiolum catena revinctum. Qui igitur existimat injustam de se pronuntiatam esse sententiam, is prehensa catena ostiolum trahit : et rex ubi id sensit, intro vocat, et ipse jus dicit. Tum, si judices comperti sunt injustam pronunciasse sententiam, capite plectuntur : sin justam, perit is qui ostiolum movit. » Sumptus autem, qui in regem ejusque mulieres et amicos quotidie impenduntur, ait esse talentorum quindecim Babylonicorum.

5.

Primi Persæ, ut scribit Heraclides, etiam stratores quos vocant invenerunt, ut explicandis stragulis suis constaret ornatus et suavis contactus.

7

Sunt tamen qui dicant, ex quibus Cumanus est Heraclides, non unam hanc tantum filiam suam Artoxerxen, sed alteram quoque matrimonio sibi junxisse Amestrim, de qua mox dicemus.

cæensem [hujus quoque historiam Cumano auctori vindicaverim] Dario filio ab Artoxerxe patre datam, sed mox ereptam esse, pergit hunc in modum :

Ὁ δὲ (sc. Δαρεῖος) ἤνεγκεν οὐ μετρίως, εἴτ' ἔρωτι τῆς Ἀσπασίας περιπαθὴς γεγονὼς, εἴτε ὑβρίσθαι καὶ κεχλευάσθαι νομίζων ὑπὸ τοῦ πατρός. Αἰσθόμενος δ' αὐτὸν οὕτως ἔχοντα Τηρίβαζος ἔτι μᾶλλον ἐξετράχυνεν ἐν τοῖς ἐκείνου συνιδὼν τὰ καθ' αὐτόν. Ἦν δὲ τοιαῦτα. Πλειόνων οὐσῶν βασιλεῖ θυγατέρων ὡμολόγησεν Φαρναβάζῳ μὲν Ἀπάμαν δώσειν γυναῖκα, Ῥοδογούνην δ' Ὀροίτῃ, Τηριβάζῳ δ' Ἄμηστριν. Καὶ τοῖς μὲν ἄλλοις ἔδωκε, Τηρίβαζον δ' ἐψεύσατο γήμας αὐτὸς τὴν Ἄμηστριν· ἀντ' ἐκείνης δὲ τῷ Τηριβάζῳ τὴν νεωτάτην Ἄτοσσαν ἐνηγγύησεν. Ἐπεὶ δὲ καὶ ταύτην ἐρασθεὶς ἔγημεν, ὡς εἴρηται, παντάπασι δυσμενῶς πρὸς αὐτὸν ὁ Τηρίβαζος ἔσχεν, οὐδ' ἄλλως στάσιμος ὢν τὸ ἦθος, ἀλλ' ἀνώμαλος καὶ παράφορος.

Aristagoras Milesius.

Ἀρισταγόρας Μιλήσιος, fr. 11; οὐ πολλῷ νεώτερος Πλάτωνος, fr. 6. Fortasse oriundus ex familia notissimi istius Aristagoræ, qui Milesiorum fuit procurator. — De Aristagora comico v. Meinek. Hist. Com. I, p. 218.

ΑΙΓΥΠΤΙΑΚΑ.

1.

E LIBRO PRIMO.

Steph. Byz. : Ἑρμοτυμβιεῖς, μοῖρα τῶν μαχίμων ἐν Αἰγύπτῳ, ὡς Ἀρισταγόρας ἐν Αἰγυπτιακῶν πρώτῃ. Οἱ αὐτοὶ καὶ Λαβαρεῖς (scr. Καλασίριες). Cf. Herodot. II, 164 : Οἱ δὲ μάχιμοι αὐτῶν καλεῦνται μὲν Καλασίριές τε καὶ Ἑρμοτύβιες. V. Steph. Thesaur. v. Καλάσιρις et Ἑρμοτύμβιες; Hemsterhus. ad Aristoph. Plut. 729. Jablonskius Vocc. Ægypt. p. 69, 101 sqq.

2.

Idem : Τάκομψος, κώμη ἐν τοῖς ὁρίοις Αἰγυπτίων καὶ Αἰθιόπων πρὸς τῇ Φίλᾳ νήσῳ, ὡς Ἀρισταγόρας ἐν Αἰγυπτιακῶν πρώτῳ. Herodot. II, 29, 3 : Ταχομψώ. Sic etiam Mela I, 9, 2; *Tacompsos*, sicuti Noster, Plinius VI, 29, 35; Μετακομψὼ Ptolemæus IV, 5. Cf. St. Byz. v. Χομψώ.

3.

E LIBRO SECUNDO.

Idem : Νικίου κώμη Αἰγύπτου. Ἀρ. Αἰγυπτιακῶν δευτέρῳ. Ὁ οἰκήτωρ Νικιώτης, ὥς φησιν Ὧρος ἐθνικῶν πρώτῳ. Cf. Ptolem. IV, 5 : Προσωπίτης νομὸς καὶ μητρόπολις Νικίου. Suidas : Νικίου κώμη περὶ Αἴγυπτον. v. Holstenius ad Steph. Byz.

E LIBRIS INCERTIS.

4.

Idem : Ψεβώ, χώρα ἐνδοτέρα Αἰθιοπίας, περὶ ἧς Ἀρισταγόρας ἐν Αἰγυπτιακοῖς τάδε γράφει· « Οὗτοι δή φασιν εἶναι χώραν ἀπέχουσαν Αἰθιοπίας ὁδῶν μὲν πέντε καλουμένην Ψεβώ. » Ἀρτεμίδωρος ἐν ὀγδόῳ Γεωγραφουμένων λίμνην εἶναί φησι. Cum Artemidoro facit Strabo p. 832, qui lacum Ψεβώα dicit. Cf. Forbiger. *Geogr.* II, p. 806.

5.

Idem : Ἑλληνικὸν καὶ Καρικόν, τόποι ἐν Μέμφιδι, ἀφ' ὧν Ἑλληνομεμφῖται καὶ Καρικομεμφῖται, ὡς Ἀρισταγόρας. Cf. Steph. B. v. Καρικόν, τόπος ἰδιάζων ἐν Μέμφιδι, ἔνθα Κᾶρες οἰκήσαντες, ἐπιγαμίας πρὸς Μεμφίτας ποιησάμενοι, Καρομεμφῖται ἐκλήθησαν. Hinc nostro quoque loco Καρομεμφῖται reponendum putares; sed idem Steph. etiam Καρικοτειχίτας memorat v. Καρικὸν τεῖχος.

ÆGYPTIACA.

1.

E LIBRO PRIMO.

Hermotymbies, pars bellatorum in Ægypto, ut Aristagoras tradit libro primo De rebus Ægyptiorum. Iidem etiam Calasiries dicuntur.

2.

Tacompsus, vicus in finibus Ægyptiorum et Æthiopum ad Philam insulam, ut Aristagoras libro primo De rebus Ægyptiorum.

3.

E LIBRO SECUNDO.

Niciu vicus Ægypti. Aristagoras De reb. Æg. libro secundo.

E LIBRIS INCERTIS.

4.

Psebo, regio interioris Æthiopiæ, de qua Aristagoras in Ægyptiacis hæc scribit : « Hi enim dicunt regionem esse, quæ distet ab Æthiopia quinque dierum itinere, nomenque ei esse Psebo. » Artemidorus libro octavo Geographicorum lacum esse dicit.

5.

Hellenicum et Caricum, loci Memphidis, a quibus Hellenomemphitæ et Caricomemphitæ, ut Aristagoras.

6.

Idem : Γυναικόπολις, πόλις Φοινίκων. Ὁ πολίτης Γυναικοπολίτης. Ἔστι καὶ ἄλλη Αἰγύπτου. Ἀρισταγόρας δὲ, οὐ πολλῷ νεώτερος Πλάτωνος, φησὶν ὅτι οὕτως ὠνομάσθη διὰ τρεῖς αἰτίας· ἢ ὅτι πολεμίων ἐπιπεσόντων καὶ τῶν ἀνδρῶν ἐν γεωργίαις ἀπόντων τὰς γυναῖκας κρατῆσαι τοῦ πολέμου· ἢ ὅτι γυνή τις νομάρχου, περισπωμένων τῶν παίδων αὐτῆς ὑπὸ τοῦ βασιλέως, ἅμα τοῖς παισὶν ὁπλισαμένη κατεδίωξε τὸν βασιλέα, καὶ ἐνίκησε· ἢ ὅτι τῶν Ναυκρατιτῶν ἀναπλεόντων τὸν ποταμὸν καὶ κωλυομένων ὑπὸ τῶν λοιπῶν Αἰγυπτίων ἀποβαίνειν, οὗτοι καταπλαγέντες ὑπὸ ἀνανδρίας οὐ διεκώλυσαν. Ταῦτα καὶ Ἀρτεμίδωρός φησιν. Gynæcopolim Æg. Strabo quoque memorat p. 803.

7.

Plutarch. De Is. et Os. c. 5, p. 431 Did. : Οἱ δὲ ἱερεῖς οὕτω δυσχεραίνουσι τὴν τῶν περιττωμάτων φύσιν, ὥστε μὴ μόνον παραιτεῖσθαι τῶν ὀσπρίων τὰ πολλὰ, καὶ τῶν κρεῶν τὰ μήλεια καὶ ὕεια, πολλὴν ποιοῦντα περίττωσιν, ἀλλὰ καὶ τοὺς ἅλας τῶν σιτίων ἐν ταῖς ἁγνείαις ἀφαιρεῖν· ἄλλας τε πλείονας αἰτίας ἔχοντας, καὶ ποτικωτέρους καὶ βρωτικωτέρους ποιεῖν ἐπιθήγοντας τὴν ὄρεξιν. Τὸ γὰρ, ὡς Ἀρισταγόρας ἔλεγε, διὰ τὸ πηγνυμένοις πολλὰ τῶν μικρῶν ζῴων ἐναποθνήσκειν ἁλισκόμενα μὴ καθαροὺς λογίζεσθαι τοὺς ἅλας, εὔηθές ἐστι.

8.

Ælianus N. An. XI, 10 : Σημεῖα δὲ αὐτοῦ (Apidis tauri) καὶ γνωρίσματα λέγει μὲν καὶ Ἡρόδοτος καὶ Ἀρισταγόρας· οὐχ ὁμολογοῦσι δὲ αὐτοῖς Αἰγύπτιοι.

Ἡρόδοτος : « nempe III, 28, quem locum ex statuis et signis superstitibus illustravit Caylus. *Rec. d'Ant.* I ad tab. 12. Cf. Jablonsky. Panth. II, p. 183; Wesseling. ad Diodor. I, 85. » *Jacobs.* Adde Creuzerum Commentat. Herodot. p. 132 sqq. (Excurs. ad Her. l. l. ed. Bæhr. tom. II, p. 640) et qui ibi laudantur.

9.

Plinius H. N. XXXVI, 12, 17 : *Qui de iis scripserint* (sc. de pyramidibus), *sunt Herodotus, Euhemerus, Duris Samius, Aristagoras, Dionysius, Artemidorus, Alexander Polyhistor, Butorides, Antisthenes, Demetrius, Demoteles, Apion. Inter omnes eos non constat a quibus factæ sint, justissimo casu obliteratis tantæ vanitatis auctoribus. Aliqui ex his prodiderunt in raphanos et allium ac cæpas mille sexcenta talenta erogata.*

« Ex istis ætatem scimus Herodoti, Euemeri, Duridis Samii, Artemidori Ephesii, Alexandri Polyhistoris et Apionis. Quum vero in sex istis recensendis temporum ratio a Plinio servetur, facile mihi persuadeo, idem in sex alteris observasse. Quodsi est, vixerit Aristagoras inter Duridem Samium et Artemidorum Ephesium vel alterutrius fuerit æqualis. Floruit autem Duris Samius sub Philadelpho, Artemidorus Ephesius, uti et qui proxime sequitur Alexander Polyhistor, Lathyri tempore floruerunt. Quod de Aristagora diximus, idem locum habet in Dionysio, quisquis ille est; nam qui sit difficile dictu est, quum usque adeo multi laudentur ejus nominis scriptores. Similiter colligere licebit, Butoridem, Antisthenem, Demetrium, Demotelem nec Ptolemæo Lathyro antiquiores esse, nec juniores Tiberio Cæsare, cujus ætate vixit Apion. » Vossius p. 400. Quæ quamvis magnam probabilitatis speciem præ se ferant, præferendum tamen disertum testimonium Stephani, qui Aristagoram Platone non multo juniorem fuisse dicit (fr. 6). Multo minus chronologicum ordinem Plinius curavit in Indice lib. XXXVI, ubi nominum series hæc est : Alexander Polyhistor, Apion, Plistonicus, Duris, Herodotus, Euhemerus, Aristagoras, Dionysius, Artemidorus, Butorides, Antisthenes, Demetrius, Demoteles, Lyceas. Ceterum *Euemerus* de pyramidibus dixerit in Ἱερᾷ ἀναγραφῇ. Operis vere historici ab Euemero compositi certiora vestigia

---

6.

Gynæcopolis, urbs Phœnicum. Civis Gynæcopolita. Est etiam alia ejus nominis urbs Ægypti, cujus appellationis Aristagoras, Platone paullo junior, tres affert causas. Aut enim nomen istud nactam esse propterea, quod hostibus eam aggredientibus dum viri in agris abessent, mulieres pugna superiores evasissent; aut quod uxor quædam nomarchi regem, qui filios ipsius abstrahere voluisset, una cum filiis insecuta devicisset; aut quod quum Naucratitas per Nilum fluvium classe ascendentes ne in terram egrederentur reliqui Ægyptii prohibuissent, hi (Gynæcopolitæ) exterriti muliebri ignavia non repulissent eos. Atque hoc Artemidorus quoque narrat.

7.

Sacerdotes autem ita abhorrent ab excrementorum natura, ut non legumina modo pleraque aversentur, et carnes ovillas ac suillas, quæ multum supervacanei gignunt : sed salem quoque cibis detrahant quo tempore sancte ac pure vivunt : quum aliis hoc de causis, tum quod sal appetitu exacuendo magis bibulos et voraciores reddit. Stultum est enim salem propterea pro immundo haberi, quod, ut Aristagoras ait, dum is cogitur, multa animalcula deprehensa ei immoriantur.

8.

Signa et notas Apidis tauri Herodotus quoque et Aristagoras explicant, cum quibus tamen non consentiunt Ægyptii.

nusquam inveni. (*) De *Dionysio* quid dicam non habeo.

De *Butoride* aliunde non constat. *Antisthenes* num Rhodius historiographus an alius fuerit in medio relinquendum. Qui deinceps nominatur *Demetrius* idem fuerit cum eo, cujus meminit Athenæus XV, p. 680, A; ubi postquam ex Ægyptiacis Hellanici (fr. 150) narraverat in Tindii oppidi templo nasci acacias quibus coronas semper florentes imposuissent dii πυθόμενοι βασιλεύειν τὸν Βάϐυν, ὅς ἐστι Τυφών, subjicit hæc : Δημήτριος δ' ἐν τῷ Περὶ τῶν κατ' Αἴγυπτον περὶ Ἄϐυδον πόλιν τὰς ἀκάνθας ταύτας εἶναί φησι, γράφων οὕτως· « Ἔχει δὲ καὶ ὁ κάτω τόπος καὶ ἄκανθάν τινα δένδρον, ὃ τὸν καρπὸν φέρει στρογγύλον ἐπί τινων κλωνίων περιφερῶν. Ἀνθεῖ δ' οὗτος, ὅταν ὥρα ᾖ, καὶ ἔστι τῷ χρώματι τὸ ἄνθος καλλιφεγγές. Λέγεται δέ τις μῦθος ὑπὸ τῶν Αἰγυπτίων, ὅτι οἱ Αἰθίοπες, στελλόμενοι εἰς Τροίαν ὑπὸ τοῦ Τιθωνοῦ, ἐπεὶ ἤκουσαν τὸν Μέμνονα τετελευτηκέναι, ἐν τούτῳ τῷ τόπῳ τοὺς στεφάνους ἀνέϐαλον ἐπὶ τὰς ἀκάνθας. Ἔστι δὲ παραπλήσια τὰ κλώνια στεφάνοις, ἀφ' ὧν τὸ ἄνθος φύεται. »

Ad quem locum Schweighæuser. in ind. auct. : « Dalecampio est Demetrius Scepsius. Videndum vero ne intelligendus sit *Demetrius Byzantinus*, quem in recensu variorum Demetriorum septimo loco nominavit Diogenes Laert. (V, 83) : ἕϐδομος, Βυζάντιος, ἐν τρισκαίδεκα βιϐλίοις γεγραφὼς τὴν Γαλατῶν διάϐασιν ἐξ Εὐρώπης εἰς Ἀσίαν, καὶ ἐν ἄλλοις ὀκτὼ τὰ περὶ Ἀντίοχον καὶ Πτολεμαῖον, καὶ τὴν Λιϐύης ὑπ' αὐτῶν διοίκησιν. Nisi intelligi potius debeat D. *Callatianus*, qui sicut περὶ Ἀσίας καὶ Εὐρώπης, sic fortasse etiam τὰ κατ' Αἴγυπτον est persecutus. Poterat etiam suspicari aliquis Phalereum Demetrium, quum in Ægypto versaretur, nonnihil τῶν κατ' Αἴγυπτον scripto mandasse; sed talis scripti ab illo editi nusquam mentio facta reperitur. »

(*) Quæ de Euemero notavi hæc sunt : Ælian. V. H. II, 32; Arnob. IV, 15; Athenæus p. 658, E; Augustin. C. D. VII, 27; Cicero N. D. I, 42, Off. III, 28; Clemens Protr. c. 2, p. 7, 12 Sylb.; (Columella IX, 2;) Etym. M. v. βρότος p. 215, 37; Euseb. P. E. p. 59 (ex Diodoro VI, 2, p. 309 ed. Didot.), 428, B; 653, B; Festus p. 552, 9; Hygin. Poet. astron. II, 13, 14, p. 377, 379, 416; Joseph. C. Ap. I, 23; Jo. Laur. Lydus De mens. p. 274 ed. Hase; Lactant. De f. rel. I, 11 et 14; Minucius Felix in Octav. p. 160; Plutarch. De Is. c. 23, p. 360, B, De plac. phil. I, 7, p. 880, D; Polyb. 34, 5, 9; Proverb. cod. Bodl. p. 199; Servius ad Virg. Georg. II, 139; Sext. Empir. C. M. p. 311, B; 317, C; Strabo I, p. 47; II, p. 102, 104; VII, p. 299; Theophil. Ad Autol. III, 6; (Varro R. R. I, 48). Cf. Sevin. in *Mém. de l'Acad. des inscr.* tom. VIII, p. 107 sqq.; Fourmont. ibid. tom. XV, p. 265 sqq.; Foucher. ibid. tom. XXXIV, p. 435 sqq., 462 sqq. et XXXV, p. 1 sqq.; Creuzer. *Symbolik* I, 1, p. 113 sqq.; Bœttiger *Kunstmythologie* p. 187 sqq.; Hœck. *Creta* tom. III, p. 326 sqq.; Lobeck. Aglaopham. p. 140 sqq.; Craner. *Grundlinien z. Gesch. des Verfalls d. rœm. Staatsreligion*, 1837, p. 22 sqq.; Droysen. *Hell.* II, p. 20, 52. Clinton. F. H. III, p. 481. Voss. l. l. — Euemeridas quidam de Marsya fluvio laudatur ap. Plutarch. De fluv. 10, 2.

10.

Diogenes L. Procem. § 11 de Ægyptiorum philosophia theologica. Vide fragm. 7 Hecatæi Abderitæ.

11.

Diog. L. I, 72 : Βραχυλόγος τε ἦν (sc. ὁ Χίλων)· ὅθεν καὶ Ἀρισταγόρας ὁ Μιλήσιος τοῦτον τὸν τρόπον Χειλώνειον καλεῖ. Βράγχου δὲ εἶναι, ὃς τὸ ἱερὸν ἔκτισε τὸ ἐν Βραγχίδαις. Cf. Suidas Χίλων, ubi eadem. Num hæc ex opere de Mileto patria an ex alio scripto fluxerint nescio. Eundem vero hunc Aristagoram habeo cum eo, cujus de theologia Ægyptiorum loquens Diogenes (fr. 10) meminit. Neque alienum Aristagoram a philosophiæ studiis fuisse vel illud subindicare videtur, quod cum Platone apud Stephan. Byz. (fr. 6.) componitur.

11. Breviloquentiæ Chilon studebat. Quare Aristagoras Milesius hunc loquendi modum Chiloneum dicit. Idem Chilonem fuisse tradit filium Branchi, qui templum, quod in Branchidis dicunt, condidit.

LIBER TERTIUS.

ARISTOTELES EJUSQUE DISCIPULI.

Aristoteles Stagirita.
[Callisthenes Olynthius.]
[Theophrastus Eresius.]
Heraclides Ponticus. 197-224
Dicæarchus Messenius. 225-268

Aristoxenus Tarentinus. 269-292
Phanias Eresius.
Clearchus Solensis.
Clytus Milesius.
Leo Byzantius.

[SCRIPTORES RERUM ALEXANDRI ætate suppares

quorum fragmenta Arriani anabasi subjunximus.]

[Callisthenes. Anaximenes. Marsyas. Onesicritus. Nearchus. Androsthenes. Clitarchus. Ptolemæus. Aristobulus. Chares. Eumenes. Diodotus. Ephippus. Medius. Cyrsilus. Bæton. Diognetus. Amyntas. Archelaus.]

ARISTOTELES.

Scripta Aristotelis, quibus argumenta historica tractantur :

1. Πολιτεῖαι. Fr. 1—241.
2. Νόμιμα βαρβαρικά. Fr. 242—253.
   Ῥωμαίων νόμιμα. Fr. 242—245.
   Τυρρηνῶν νόμιμα. Fr. 246.
3. Δικαιώματα πόλεων β'. Fr. 254, 255.
   [Περὶ τῶν Σόλωνος ἀξόνων ε'. Anonym. Menagii.] Cf. fr. 12.
4. Ἀλέξανδρος ἢ ὑπὲρ ἀποικιῶν. Diog. L. V, 22, Anonym. Menag. Nihil superstes (*).
5. [Εὑρήματα.] Fr. 256—260.
6. Ὀλυμπιονῖκαι. Fr. 261—264.
7. Πυθιονῖκαι. Fr. 265.
8. Νῖκαι Διονυσιακαί. Fr. 266.
9. Διδασκαλίαι. Fr. 267—272.
10. Περὶ ποιητῶν βιβλ. γ'. Fr. 573—280.
11. Παροιμίαι, βιβλ. α'. Fr. 281.
12. [Πέπλος.] Fr. 282—288.

ΠΟΛΙΤΕΙΑΙ.

TESTIMONIA.

Diogen. L. V, 27 in Aristotelis scriptorum catalogo : Πολιτεῖαι πόλεων δυοῖν δεούσαιν ἑξήκοντα καὶ ἑκατὸν, καὶ ἰδίᾳ δημοκρατικαὶ, ὀλιγαρχικαὶ, ἀριστοκρατικαὶ καὶ τυραννικαί.

Anonymus Menagii (p. 404 in Βιογρ. Westermanni) inter scripta Ar. recenset : Πολιτείας πόλεων ἰδιωτικῶν (ἰδίως τυραννικῶν conj. Fabricius) καὶ δημοκρατικῶν καὶ ὀλιγαρχικῶν ρνη'.

(*) De Aristotelis opere Περὶ Ἀλεξάνδρου, quod nunquam fuit, vide Introductionem in Pseudocallisth. p. XXVII, et Præfat. in Scriptor. Rer. Alex. p. v. — Vulgo etiam Κτίσεις inter Aristotelis opera recensentur ex Plutarcho, Non posse suav. vivi sec. Epic. c. 10, p. 1093 (p. 1337 ed. Didot) : Ὅταν δὲ μηδὲν ἔχουσα λυπηρὸν ἢ βλαβερὸν ἱστορία καὶ διήγησις ἐπὶ πράξεσι καλαῖς καὶ μεγάλαις προσλάβῃ λόγον ἔχοντα δύναμιν καὶ χάριν, ὡς... γῆς περιόδους Εὔδοξος ἢ κτίσεις καὶ πολιτείας Ἀριστοτέλης ἢ βίους ἀνδρῶν Ἀριστόξενος ἔγραψεν, οὐ μόνον μέγα καὶ πολὺ τὸ εὐφραῖνον, ἀλλὰ καὶ καθαρὸν καὶ ἀμεταμέλητόν ἐστιν. At procul dubio κτίσεις non sunt distinguendæ a πολιτείαις, in quibus etiam de originibus civitatum sermonem factum fragmenta docent luculentissime. — Mitto denique opus Aristotelis Περὶ Ποταμῶν, cujus librum quartum laudat Plutarch. De fluviis extrem. Certe quod Plutarchus l. l. refert, a nostro philosopho alienum. — Opus Περὶ νήσων e Plinio IV, 12 effinxit Fabricius Bibl. gr. II, p. 194.

Aristotelis Rerump. Reliquias collegit C. F. Neumann. Heidelberg. 1827. Qui quidem libellus nullius nobis usus esse potuit. Tam supina est auctoris negligentia.

[Ammonii s. Philoponi] Vit. Arist. p. 401 in Βιογρ. Westerm. : Ἀμέλει καὶ συνώδευσεν αὐτῷ (Ἀριστοτέλης Ἀλεξάνδρῳ) μέχρι καὶ ἔσω τῶν Βραχμάνων, ἔνθ' ἔστησε (sic) τὰς σνε' πολιτείας.

Ejusdem Vitæ Interpret. latina ed. Nunnesius p. 14 (Helmstadii 1664. 4) : *Juvene autem existente Alexandro et militante contra Persas, eundo cum eo nec tum abstinuit philosophari Aristoteles; tunc enim composuit historiam ducentarum et quinquaginta politiarum.*

Herbelot. in Bibliothèque Orientale p. 971 : « Ketab siassat almoden, titre du livre des républiques d'Aristote traduit en arabe, dans lequel, suivant Hagi-Khalfah, il fait mention de cent quatre-vingt onze villes ou républiques différentes et de leur état démocratique. »

Cicero De Fin. V, 11 : *Ab Aristotele omnium fere civitatum non Græciæ solum, sed etiam barbariæ mores, instituta, disciplinas, a Theophrasto etiam leges cognovimus.*

Jam quod numerum Politiarum attinet, ut nunc se res habet, acquiescendum est in testimonio Diogenis et Anonymi Menagii. In Vita Ammonii et Nunnesii numerus 255 vel 250 corruptus esse videtur ex 155 vel 150. Quid de Arabis numero 191 statuendum sit, in medio relinquamus. Fortasse eo comprehenduntur populi, quorum instituta in Νομίμοις Βαρβαρικοῖς auctor recensuerat. Ceterum quum Simplicius in Prolegg. ad Categg. (*) ita mentionem Πολιτειῶν injiciat, ut inter *genuinas* et *spurias* distinguendum sit, vel hinc patet alios alium Politiarum numerum laudare potuisse. — In fragmentis nostris recensuimus Politias *nonaginta quinque.* Inter eas expressis verbis citantur *quadraginta quinque;* ex argumentis fragmentorum, quibus libri notitia non additur, eruimus alias Politias *sedecim;* denique inter civitates, octoginta fere numero, quæ in Politicorum libris commemorantur, *triginta quattuor* occurrunt, quarum in fragmentis nostris nulla fit mentio, quum tamen omitti inter Πολιτείας vix potuerint, immo Πολιτειῶν opus quasi promptuarium eorum omnium, quibus præcepta in Politicis illustrantur, fuisse sit censendum. Ecce nomina civitatum atque ordinem quo in fragmentis nostris se excipiunt. Scilicet quum ipsius Aristotelis adorna-

(*) l. l. p. 2 : Aristotelis perspicua scripta sunt τὰ μετέωρα, τὰ τοπικὰ καὶ αἱ γνήσιαι αὐτοῦ πολιτεῖαι.

tio nos lateat, misso omni artificio, ita fecimus, ut præmissis Atheniensium et Lacedæmoniorum et Cretensium civitatibus nobilissimis, reliquas subjungeremus more periegetarum. Eas Politias, quæ non expresse laudantur, sed a nobis ex argumentis fragmentorum constitutæ sunt, parentheseos signis ( ), eas autem, quarum mentio ex Aristotelis Politicorum opere petita est, uncis [ ] inclusimus.

1. Ἀθηναίων. fr. 1—74.
2. Λακεδαιμονίων. fr. 75—88.
3. [Κρητῶν.] fr. 88 a.

PELOPONNESUS.

4. Τεγεατῶν. fr. 89—90.
5. [Μαντινείων.] fr. 90 *a*.
6. [Ἡραιέων.] fr. 90 *b*.
7. Κοινὴ Ἀρκάδων πολιτεία. fr. 91.
8. Ἠλείων. fr. 92. 93.
9. Τροιζηνίων. fr. 94. 95.
10. (Ἐπιδαυρίων.) fr. 97.
11. (Ἀσιναίων.) fr. 98.
12. Ἀργείων. fr. 99.
13. Αἰγινητῶν. fr. 100.
14. Ἀχαιῶν.
15. Σικυωνίων. fr. 101.
16. Πελληναίων. fr. 102.
17. [Κορινθίων.] fr. 102 *a*.

EUBŒA. HELLAS.

18. Μεγαρέων. fr. 103. 104.
19. (Χαλκιδέων.) fr. 105—108.
20. [Ἐρετριέων.] fr. 109.
21. [Ἑστιαιέων.] fr. 109 *b*.
22. [Ὠρειτῶν.] fr. 109 *b*.
23. (Θηβαίων.) fr. 110-114.
24. Ὀρχομενίων. fr. 115—116.
25. (Ὠρωπίων.) fr. 117.
26. Ὀπουντίων. fr. 118—123.
27. Φωκέων. fr. 124—126.
28. Αἰτωλῶν. fr. 127.
29. Ἀκαρνάνων. fr. 128.
30. Λευκαδίων. fr. 128.
31. Ἰθακησίων. fr. 129—133.

EPIRUS. CORCYRA.

32. Ἠπειρωτῶν. fr. 134.
33. Ἀμβρακιωτῶν. fr. 135. 136.
34. [Μολοσσῶν.] fr. 137.
35. Κορκυραίων. fr. 138.
36. [Ἐπιδαμνίων.] fr. 140.
37. [Ἀπολλωνιατῶν.] fr. 141.

THESSALIA. MACEDONIA. THRACIA.

38. Μηλιέων. fr 142. 143.
39. Κοινὴ Θεσσαλῶν πολιτεία. fr. 145—148.
40. [Λαρισσαίων.] fr. 149—51.
41. [Φαρσαλίων.] fr. 152.
42. Βοττιείων. fr. 157.
43. [Ἀφυταίων.] fr. 158.
44. [Χαλκιδέων.] fr. 159.
45. [Ἀμφιπολιτῶν.] fr. 160.
46. [Βυζαντίων.] fr. 162.
47. [Ἀπολλωνιατῶν ἐν Πόντῳ.] fr. 163.
48. [Ἰστριέων.] fr. 163.

INSULÆ MARIS ÆGÆI.

49. Δηλίων. fr. 164—166.
50. Κυδνίων. fr. 167.
51. (Τηνίων.) fr. 167 *a*.
52. (Μηλίων.) fr. 167 *b*.
53. [Θηραίων.] fr. 141.
54. Ναξίων. fr. 168.
55. Παρίων.
56. Τενεδίων. fr. 169. 170.
57. Σαμοθράκων. fr. 171.
58. [Μυτιληναίων.] fr. 172.
59. [Ἀντισσαίων.] fr. 173.
60. [Χίων.] fr. 174.
61. Σαμίων. fr. 175—183.
62. [Κώων.] fr. 184.
63. [Ῥοδίων.] fr. 185.

ASIA.

64. (Σινωπέων) fr. 186.
65. Κιανῶν. fr. 187.
66. [Ἡρακλεωτῶν.] fr. 188.
67. [Ἀρυδηνῶν.] fr. 189.
68. (Ἀντανδρίων) fr. 190.
69. Ἀδραμυττηνῶν fr. 191.
70. Κυμαίων. fr. 192—194.
71. [Ἐρυθραίων.] fr. 195.
72. [Κλαζομενίων] fr. 196.
73. Κολοφωνίων. fr. 197.
74. [Μαγνήτων.] fr. 198 *a*.
75. Μιλησίων. fr. 199—201.
76. (Ἰασέων.) fr. 201 *a*.
77. [Κνιδίων.] fr. 202.
78. Λυκίων.
79. Κυπρίων. fr. 203—205.

AFRICA.

80. Κυρηναίων. fr. 206—208.
81. [Καρχηδονίων.] fr. 209. 210.

SICILIA.

82. Ἀκραγαντίνων. fr. 211—215.
83. Ἱμεραίων.
84. Γελῴων. fr. 216.
85. Συρακουσίων. fr. 218—224.

86. [Λεοντίνων.] fr. 225.
87. [Καταναίων.] fr. 226.
88. [Ζαγκλαίων] fr. 227.

ITALIA.

89. (Ῥηγίνων.) fr. 228.
90. (Λοκρῶν.) fr. 229—231.
91. Ταραντίνων. fr. 232—233.
92. (Κροτωνιατῶν.) fr. 233 *a*.
93. (Σιριτῶν.) fr. 234.
94. (Συβαριτῶν καὶ Θουρίων.) fr. 235—237.

GALLIA.

95. Μασσαλιωτῶν. fr. 238—241.

Post hæc alia nonnulla apponam, quæ ad rationem qua adornatum opus Aristotelicum fuerit, referenda esse videri possint. Ac primum quidem ap. Photium (fr. 132) laudatur Ἀριστοτέλης ἐν τῇ Ἰθακησίων πολιτείᾳ μβ'. Igitur hæc si recte habent (*), Ithacensium respublica erat quadragesima secunda vel totius operis, vel certe ejus seriei, quam Photius ob oculos habebat. — Deinde vero Harpocratio v. Μύριοι ἐν Μεγάλῃ πόλει (fr. 91) dicit : Διείλεκται δὲ περὶ αὐτῶν καὶ Ἀριστοτέλης ἐν τῇ κοινῇ Ἀρκάδων πολιτείᾳ ἀρχόμενος τοῦ βιβλίου. Quæ aut ita sunt intelligenda, ut initio certi cujusdam Πολιτειῶν libri de confœderatæ Arcadiæ constitutione auctor dixerit, aut statuendum est βιβλίον illud nihil nisi τὴν κοινὴν Ἀρκάδων πολιτείαν continuisse. Neque hoc adeo veri dissimile est. Nam similiter Cicero de Dicæarchi politiis loquens (Ep. ad. Att. II, 2) dicit : « Πελληναίων *in manibus tenebam,...* Κορινθίων καὶ Ἀθηναίων *puto me Romæ habere.* » Ac quum omnino constet scripta veterum in minuta volumina dispesci solita esse, tanto facilius id fieri poterat in iis operibus, ubi sicuti in nostro singulæ partes arctiore vinculo conjunctæ inter se non erant. Simulque inde liquet quam facile genuinis addi spuria potuerint.

Ceterum sec. Diogenem Laertium l. l. Aristoteles politias suas ita distribuerat, ut ex ordine seorsum diceret de democraticis, de oligarchicis, de aristocraticis, etc. Jam vero quum pleræque civitates aliis temporibus aliam reipublicæ formam habuerint, num putemus Aristotelem ejusdem civitatis historiam ita discerpsisse, ut aliam ejus partem alio libro tractaret? Nemo ullus, puto, tale quid sibi persuaserit. Nam uti cadit hoc in theoreticum opus Politicorum, sic ab historica nostra πραγματείᾳ prorsus est alienum, adeo ut suspicio nascatur, an non Politica cum Politiis Diogenes confuderit. Sin veri quid Laertii testimonio subest, ita egerit Aristoteles, ut historiam quidem cujusvis civitatis universam omnesque quas quæque subierit reipublicæ formas eodem recenseret loco, totam politiam vero democraticarum vel aristocraticarum classi vindicaret, prouti vel hæc vel illa reipublicæ forma prævaleret. Quæ quidem ordinatio ut plurimum concidebat cum ea distributione quam stirpes atque gentes Græcorum suppeditabant. Plura ex his v. in præf. ad Heraclidem.

Tenedus, una ex Sporadibus insulis... Est etiam proverbium *Tenedius tibicen* de iis qui falsa testantur. Tibicinem enim Philonome ad Cycnum duxit, qui testabatur Tennen voluisse Philonomæ vim inferre. Est etiam aliud proverbium *Tenedia securis* de iis qui vel aspere vel nimis concise abscidunt quæstiones et res reliquas. Ac inquit Aristides et alii Tenedium Apollinem securim tenere propter ea quæ acciderunt Tennæ, vel potius, ut inquit Aristoteles in Tenediorum rep., quod rex quidam legem in Tenedo tulerit, qua jubebatur deprehensos adulteros securi utrosque occidi. Quoniam vero accidit ut ipsius filius deprehenderetur in adulterio, jussit etiam ut contra ipsius filium lex servaretur. Eo occiso in proverbium res venit, de iis quæ crudeliter fiunt. Quamobrem inquit et in numismate Tenediorum sculptam fuisse ex una parte securim, ex altera duo capita in memoriam ejus, quod filio acciderat. Est etiam aliud proverbium, *Tenedius advocatus,* qui est severus et durus.

170 a.

[Magna turba est portitorum in Tenedo.]

ΣΑΜΟΘΡᾼΚΩΝ.

171.

Schol. Apoll. Rhod. I, 917: Ἡ δὲ Σαμοθρᾴκη ἐκαλεῖτο πρότερον Λευκωσία, ὡς ἱστορεῖ Ἀριστοτέλης ἐν Σαμοθρᾴκης πολιτείᾳ· ὕστερον δὲ ἀπὸ Σάου τοῦ Ἑρμοῦ καὶ Ῥήνης παιδὸς Σάμος προσωνομάσθη, κατὰ παρένθεσιν τοῦ μ. Θρᾳκῶν δὲ οἰκησάντων αὐτὴν, ἐκλήθη Σαμοθρᾴκη.

Λευκόσια schol. antiquiora, Λευκώνια ap. Eustath. ad Il. p. 1340, 14. Λευκανία ap. Heraclid. Pont. c. 21. Similiter Italica insula aliis dicitur Λευκωσία, aliis Λευκασία, v. Steph. Thes. s. v. — De ratione nominum Σάος, Σάμος, Ῥήνη egit Welcker. *Æsch. Trilog.* p. 217 sq. cf. Müller *Min.* p. 450 sqq.

[ΜΥΤΙΛΗΝΑΙΩΝ.]

[172.]

[Aristot. Pol. III, 9, 6: Ἦρχον δὲ οἱ μὲν (sc. αἰσυμνῆται) διὰ βίου τὴν ἀρχὴν ταύτην, οἱ δὲ μέχρι τινῶν ὡρισμένων χρόνων ἢ πράξεων, οἷον εἵλοντό ποτε Μυτιληναῖοι Πιττακὸν πρὸς τοὺς φυγάδας, ὧν προειστήκεσαν Ἀντιμενίδης καὶ Ἀλκαῖος ὁ ποιητής. Δηλοῖ δ' Ἀλκαῖος ὅτι τύραννον εἵλοντο τὸν Πιττακὸν ἔν τινι τῶν σκολιῶν μελῶν· ἐπιτιμᾷ γὰρ ὅτι « τὸν κακοπάτριδα Πιττακὸν πόλεως τᾶς ἀχόλω καὶ βαρυδαίμονος ἐστάσαντο τύραννον μέγ' ἐπαινέοντες ἀολλέες. »

Ib. II, 9, 9: Ἐγένετο δὲ καὶ Πιττακὸς νόμων δημιουργὸς, ἀλλ' οὐ πολιτείας· νόμος δ' ἴδιος αὐτοῦ τὸ τοὺς μεθύοντας, ἂν τυπτήσωσι, πλείω ζημίαν ἀποτίνειν τῶν νηφόντων· διὰ γὰρ τὸ πλείους ὑβρίζειν μεθύοντας ἢ νήφοντας οὐ πρὸς τὴν συγγνώμην ἀπέβλεψεν, ὅτι δεῖ μεθύουσιν ἔχειν μᾶλλον, ἀλλὰ πρὸς τὸ ξυμφέρον (Spuria hæc esse videntur).

Ib. V, 8, 13: Πολλοὶ δὲ καὶ διὰ τὸ εἰς τὸ σῶμα αἰκισθῆναι πληγαῖς ὀργισθέντες, οἱ μὲν διέφθειραν, οἱ δ' ἐνεχείρισαν, ὡς ὑβρισθέντες, καὶ τῶν περὶ τὰς ἀρχὰς καὶ βασιλικὰς δυναστείας. Οἷον ἐν Μυτιλήνῃ τοὺς Πενθιλίδας Μεγακλῆς περιιόντας καὶ τύπτοντας ταῖς κορύναις, ἐπιθέμενος μετὰ τῶν φίλων ἀνεῖλε. Καὶ ὕστερον Σμέρδης Πενθίλον πληγὰς λαβὼν καὶ παρὰ τῆς γυναικὸς ἐξελκυσθεὶς διέφθειρε.

Ib. V, 3, 3: Περὶ Μυτιλήνην δὲ ἐξ ἐπικλήρων στάσεως γενομένης πολλῶν ἐγένετο ἀρχὴ κακῶν καὶ τοῦ πολέμου τοῦ πρὸς Ἀθηναίους, ἐν ᾧ Πάχης ἔλαβε τὴν πόλιν αὐτῶν. Τιμοφάνους γὰρ τῶν εὐπόρων τινὸς καταλιπόντος δύο θυγατέρας, ὁ περιωσθεὶς καὶ οὐ λαβὼν τοῖς υἱέσιν αὐτοῦ Δόξανδρος ἦρξε τῆς στάσεως καὶ τοὺς Ἀθηναίους παρώξυνε, πρόξενος ὢν τῆς πόλεως.

Ib. III, 8, 4: Athenienses Lesbios, uti Samios et Chios ἐταπείνωσαν παρὰ τὰς συνθήκας.]

[ΑΝΤΙΣΣΑΙΩΝ.]

[173.]

[Aristot. Pol. V, 2, 11: Ἀντισσαῖοι τοὺς Χίων φυγάδας εἰσδεξάμενοι διὰ μάχης ἐξέβαλον.]

[ΧΙΩΝ.]

[174.]

[Id. Pol. V, 5, 11: Πολλαὶ δὲ καὶ διὰ τὸ ἄγαν δεσπο-

SAMOTHRACUM.

171.

Samothrace olim Leucosia appellabatur, uti narrat Aristoteles in Samothracum rep. Postea de Sao Mercurii et Rhenes filio Samos nuncupata est, interposita litera *m*. Quum vero Thraces eam jam habitarent, vocata est Samothrace.

[MYTILENÆORUM.]

[172.]

[Æsymnetæ imperium obtinebant alii per omnem vitam, alii usque ad præfinitum tempus et ad certas res gerendas; verbi gratia, optarunt quondam Mytilenæi Pittacum adversus exules, quorum duces erant Antimenides et Alcæus poeta. Declarat autem ipse Alcæus in quodam carmine scolio Pittacum a Mytilenæis tyrannum esse sumptum; iis enim vitio vertit quod perniciosum Pittacum, laudibus in cœlum ferentes, universi afflictæ et infelici civitati tyrannum imposuerint.

Fuit et Pittacus legum quidem opifex, sed non reipublicæ administrandæ. Lex autem ejus propria est, ut si quid ebrius peccaverit, graviores pœnas det, quam si siccus. Propterea enim quod frequentior ebriorum contumelia sit quam sobriorum, non tam ignoscendi rationem ab ebrietate repetendam spectavit quam utilitatem.

Multi etiam propterea quod corpore verbera pertulissent irati, tanquam accepta contumelia, summos magistratus et principes cum regia potestate aut occiderunt aut adorti sunt. Ut Mytilenis Megacles, facta cum amicis conspiratione, Penthilidas qui circumeuntes clavis quemque cædebant, interemit. Et postea Smerdis Penthilum, plagis ab eo acceptis et ab uxore extractus, necavit.

Mytilenæis nata ex puellis orbis et patrum locupletium hæredibus, seditio, multorum malorum et belli cum Atheniensibus suscepti, in quo Paches Atheniensium imperator urbem cepit, principium fuit. Nam quum Timophanes quidam, unus ex locupletibus, duas filias superstites reliquisset, Doxanderque qui eas filiis suis uxores poposcisset, repulsam tulisset, seditionis auctor fuit, et Athenienses contra patriam concitavit, quorum civitatis erat proxenus.

Athenienses Lesbios, ut Samios et Chios contra pacta depresserunt.]

[ANTISSÆORUM.]

[173.]

[Antissæi Chiorum exules in civitatem receptos signis collatis ejecerunt.]

[CHIORUM.]

[174.]

[Multæ oligarchiæ, quia nimis erant sævæ, et domino-

τικὰς εἶναι τὰς ὀλιγαρχίας ὑπὸ τῶν ἐν τῇ πολιτείᾳ τινῶν δυσχερανάντων κατελύθησαν, ὥσπερ ἡ ἐν Κνίδῳ καὶ ἡ ἐν Χίῳ ὀλιγαρχία.

Id. IV, 4, 1 : Τὸ ἐμπορικὸν ἐν Αἰγίνῃ καὶ Χίῳ (πολύοχλόν ἐστιν).

Ib. III, 8, 4, v. fr. 172; V, 2, 11, v. fr. 173.

ΣΑΜΙΩΝ.

175.

Plinius H. N. V, 37 : *Ioniæ ora habet... Samon : Partheniam primum appellatam Aristoteles tradit, postea Dryusam, deinde Anthemusam.* Cf. Heraclid. Resp. Sam. fr. 10, 1, Callimach. in Del. 45, Strabo X, p. 457; XIV, p. 637, Steph. Byz. v. Σάμος. Plura dat Panofka (Res Samiorum p. 8 sq.).

176.

Schol. Apollon. Rh. I, 188 : Παρθενίης Ἀγκαῖος · Ἀριστοτέλης φησὶ περὶ Ἀγκαίου, ὅτι φιλογέωργος ὤν, καὶ φυτεύων ἀμπελῶνα, βαρὺς ἐπέκειτο τοῖς οἰκέταις. Εἷς δὲ τῶν οἰκετῶν ἔφη μὴ μεταλήψεσθαι τὸν δεσπότην τοῦ καρποῦ. Ὁ δὲ Ἀγκαῖος, ἐπειδὴ ὁ καρπὸς ἔφθακει, χαίρων ἐτρύγα, καὶ τὸν οἰκέτην ἐκέλευε κεράσαι αὐτῷ. Μέλλων δὲ τὴν κύλικα προσφέρειν τῷ στόματι, ὑπεμίμνησκεν αὐτοῦ τοῦ λόγου. Ὁ δὲ ἔφη · Πολλὰ μεταξὺ πέλει κύλικος καὶ χείλεος ἄκρου. Τούτων ἔτι λεγομένων, ἧκέ τις ἀγγέλλων, ὡς ὑπερμεγέθης σῦς λυμαίνεται τὸν ὄρχατον. Ὁ δὲ Ἀγκαῖος ἀποβαλὼν τὴν πόσιν, ἐπὶ τὸν σῦν ὥρμησε · καὶ πληγεὶς ὑπ' αὐτοῦ ἐτελεύτησεν. Ὅθεν ἡ παροιμία ἐπὶ τῶν παρὰ προσδοκίαν τι πραττόντων.

Tzetz. Lyc. 488 : Ὁ γὰρ Ἀγκαῖος οὗτος, υἱὸς ὢν Ποσειδῶνος καὶ Ἀστυπαλαίας, τῆς Φοίνικος, ἐφύτευσεν ἄμπελον, κατὰ Ἀριστοτέλη τὸν τοὺς Πέπλους (τὸν Πέπλουν codd. duo) συντάξαντα. Μάντις δέ τις εἶπεν αὐτῷ, ὡς οὐ πίοι οἶνον ἐκ ταύτης. Ἐνηνοχυίας δὲ τῆς ἀμπέλου καρπὸν, ἀπέθλιψεν ὁ Ἀγκαῖος τὴν σταφυλὴν εἰς ἀγγεῖον, ἤγουν κύλικα, ὡς πιόμενος, καὶ κατεγέλα τοῦ μάντεως, δεικνύων τὴν κύλικα · ὁ δ' ἔφη ·

Πολλὰ μεταξὺ πέλει κύλικος καὶ χείλεος ἄκρου.

Βοῆς δὲ γενομένης, ὡς συὸς λυμαινομένου τὴν χώραν, θεὶς τὴν κύλικα ὁ Ἀγκαῖος, ἐξῆλθεν ἐπὶ τὸν σῦν, καὶ πρῶτος ἀνῃρέθη ὑπ' αὐτοῦ.

Peplum Aristotelis Tzetzes h. l. non meliore jure adduxerit quam supra fr. 115, etsi legi historia in Peplo poterat. Eadem narrat Heraclides Rep. Sam. fr. 10, 2. Schol. Hom. Od. X, 9; Zenob. V, 71; Diogenian. VII, 46; Gregor. Cypr. III, 38; Apostol. XVI, 28; Athenæus XI, p. 478, E; Gellius N. A. XIII, 17; Stobæus Flor. CXI, 14; Boisson. An. II, 450, citante Leutschio in Parœmiogr. tom. I, p. 148 sq.

Apud Heraclidem deinceps memoratur hirundo alba, quæ in Samo apparuerit. Prodigium hoc cum nescio qua historia conjunctum ex Aristotelis Rep. Samiorum, ut videtur, narrat Ælianus N. An. XVII, 20 : Ἀριστοτέλης λέγει γίνεσθαι (γενέσθαι?) ἐν Σάμῳ λευκὴν χελιδόνα.

177.

Ælianus N. An. XII, 40 : Τιμῶσι δὲ ἄρα Δελφοὶ μὲν λύκον, Σάμιοι δὲ πρόβατον... Τὰ δὲ αἴτια τῆς ἑκάστου τιμῆς εἰπεῖν οὐκ ἔστιν ἔξω τῆσδε τῆς σπουδῆς. Δελφοῖς μὲν χρυσίον ἱερὸν σεσυλημένον καὶ ἐν τῷ Παρνασσῷ κατορωρυγμένον ἀνίχνευσεν ὁ λύκος · Σαμίοις δὲ καὶ αὐτοῖς τοιοῦτο χρυσίον κλαπὲν πρόβατον ἀνεῦρε καὶ ἐντεῦθεν Μανδρόβουλος ὁ Σάμιος τῇ Ἥρᾳ πρόβατον ἀνάθημα ἀνῆψεν. Καὶ τὸ μὲν Πολέμων λέγει τὸ πρότερον, τὸ δὲ Ἀριστοτέλης τὸ δεύτερον. De lupo Delphico v. Pausanias X, 14, 4; de ove Samia cf. Clem. Alex. Protr. p. 11 Sylb. : Πρόβατον, ὥς φησιν Εὐφορίων (fr. 123 ed. Meinek.), σέβουσι Σάμιοι. — ἐντεῦθεν] Aliter Ephorus (fr. 161), ubi Mandrobulus aureum arietem dedicasse dicitur propterea quod reperisset τὸ ἐν Σάμῳ γεωφάνιον. [Laudatur ibi Ἔφορος περὶ χωρίων θ', pro quo Boissonad. Epimer. Herodian. ingeniose proposuit Ἐφ. ἐν ἐπιχωρίῳ; sed delenda omnino v. περὶ χωρίων (καὶ χωρίον alius cod.). Aperte enim vox χωρίων irrepsit ex sequente glossa Harpocrationis : Γήπεδον, τὸ χωρίον, pro quibus quattuor codd.

---

rum in servos imperiis similes, a quibusdam rempublicam communiter administrantibus, talem dominatum ægre ferentibus eversæ sunt, quemadmodum in Cnido et Chio accidit.

In Ægina et Chio mercatorum magna turba est.

SAMIORUM.

176.

Ancæus, uti Aristoteles narrat, vir agriculturæ studiosus, quum vitem plantabat, durus instabat servis. Quorum unus dominum non fruiturum fructu dixit. Ancæus vero, uvis maturatis, lætus vindemiavit, jussitque servo ut vinum ipsi misceret. Jamque ori poculum admoturus dictum ei in memoriam revocavit. Ille autem, *Multum*, inquit, *inter poculum est labraque summa.* Quibus dictis, ecce, accurrit aliquis nuntians hortum ab apro ingente devastari. Igitur Ancæus, misso poculo, contra aprum egreditur, ab eoque ictus perit. Inde proverbium de iis, quibus contra exspectationem aliquid accidit, usurpatur.

177.

Lupum Delphi colunt, Samii ovem venerantur... Causas autem quamobrem hujusmodi bestias divini cultus honore prosequantur, non alienum est explicare. Delphis aurum sacrum furto direptum et in Parnasso defossum, sicut dicit Polemo, investigavit lupus; Samiis item aurum furto sublatum ovis invenit; quare Mandrobulus Samius Junoni ovem consecravit, ut Aristoteles tradit.

turbate : γήπεδον, ἔφορος καὶ χωρίον.] Cleophontis fabulam Μανδρόβουλος inscriptam memorat Aristoteles Soph. Elench. 15, 5 p. 174, 27 Bekk. (vide Fragm. poet. trag. p. 100 ed. Wagner.) Nostro loco nescio cur Prellerus ad Polem. p. 59 Aristoteli substituere voluerit Aristidem Milesium. Contra idem ap. Clem. Alex. Strom. I, p. 352 pro Aristarcho et Theopompo, Pythagoram Tyrrhenum fuisse dicentibus, reponi vult Aristotelem et Theophrastum.

178.

Schol. Aristophan. Av. 471 : Διὰ σπουδῆς εἶχον τὸν Αἴσωπον. Καὶ Ἀριστοτέλης ἐν τῇ Σαμίων πολιτείᾳ εἰπόντα φησὶν αὐτὸν μῦθον ηὐδοκιμηκέναι. Cf. Heraclides in Samior. Rep. 10, ubi quæ de Asopo leguntur iisdem verbis etiam ap. schol. nostrum l. l. exstant.

179.

Zenob. VI, 12 : Τὸ περὶ Δρῦν σκότος· Ἀριστοτέλης φησὶν ἐν τῇ Σαμίων πολιτείᾳ, Πριηνέας πολλοὺς ὑπὸ Μιλησίων ἀναιρεθῆναι περὶ τὴν καλουμένην Δρῦν· ὅθεν καὶ τὰς Πριηνείας γυναῖκας ὀμνύναι τὸ περὶ Δρῦν σκότος. Cf. Apostol. Prov. XVII, 25.

Plutarch. Qu. Gr. c. 20, p. 295, F : « Τίς ὁ λεγόμενος ἐν Πριήνῃ παρὰ Δρυῒ σκότος; » Σάμιοι καὶ Πριηνεῖς πολεμοῦντες ἀλλήλοις, τὰ μὲν ἄλλα μετρίως ἐβλάπτοντο καὶ ἔβλαπτον, μάχης δὲ μεγάλης γενομένης, χιλίους Σαμίων οἱ Πριηνεῖς ἀπέκτειναν· ἑβδόμῳ δὲ ὕστερον ἔτει Μιλησίοις συμβαλόντες παρὰ τὴν καλουμένην Δρῦν, τοὺς ἀρίστους ὁμοῦ τι καὶ πρώτους ἀπέβαλον τῶν πολιτῶν· ὅτε καὶ Βίας ὁ σοφὸς εἰς Σάμον ἐκ Πριήνης πρεσβεύσας εὐδοκίμησε. Ταῖς δὲ Πριηνέων γυναιξὶν ὁμοῦ τοῦ πάθους τούτου καὶ τῆς συμφορᾶς ἐλεεινῆς γενομένης, ἀρὰ κατέστη καὶ ὅρκος περὶ τῶν μεγίστων, Ὁ παρὰ τῇ Δρυῒ σκότος, διὰ τὸ παῖδας αὐτῶν καὶ πατέρας ἐκεῖ φονευθῆναι. V. Panofka Res Sam. p. 38. Mæandrius Milesius fr. 6.

[180.]

[Aristot. Pol. V, 9, 4 : Καὶ τοὺς πένητας ποιεῖν τοὺς ἀρχομένους, τυραννικόν... Παράδειγμα δὲ τούτου... καὶ τὰ περὶ Σάμον ἔργα Πολυκράτεια.]

181.

Photius Lex. v. Σαμίων ὁ δῆμος ὡς πολυγράμματος... Οἱ γὰρ Σάμιοι καταπονηθέντες ὑπὸ τῶν τυράννων, σπάνει τῶν πολιτευομένων ἐπέγραψαν τοῖς δούλοις ἐκ πέντε στατήρων τὴν ἰσοπολιτείαν, ὡς Ἀριστοτέλης ἐν τῇ Σαμίων πολιτείᾳ. Eadem Suidas s. v., Apostol. Prov. XVII, 25. Alias proverbii explicationes afferunt ex Duride et Andronis Tripode. Cf. Panofka l, l. p. 46. Fritsch. *De Babyloniis Aristophan.* p. 18 sqq.

[182.]

[Aristot. Pol. V, 1, 11 : Ζαγκλαῖοι δὲ Σαμίους ὑποδεξάμενοι ἐξέπεσον καὶ αὐτοί.] V. Herodot. VI, 23, ibiq. interpr.

183.

Plutarch. Pericles c. 26. Pericles ex classe Atheniensium, quæ Samum obsidebat, sexaginta naves assumpsit, cum iisque Asiam versus contendit, ut Phœnicibus, qui Samiis auxilium laturi erant, occurreret. Πλεύσαντος δ' αὐτοῦ, Μέλισσος ὁ Ἰθαγένους, ἀνὴρ φιλόσοφος, στρατηγῶν τότε τῆς Σάμου, καταφρονήσας τῆς ὀλιγότητος τῶν νεῶν ἢ τῆς ἀπειρίας τῶν στρατηγῶν, ἔπεισε τοὺς πολίτας ἐπιθέσθαι τοῖς Ἀθηναίοις. Καὶ γενομένης μάχης νικήσαντες οἱ Σάμιοι καὶ πολλοὺς μὲν αὐτῶν ἄνδρας ἑλόντες, πολλὰς δὲ ναῦς διαφθείραντες, ἐχρῶντο τῇ θαλάσσῃ καὶ παρετίθεντο τῶν ἀναγκαίων πρὸς τὸν πόλεμον ὅσα μὴ πρότερον εἶχον (Ol. 84, 4. a. C. 441). Ὑπὸ δὲ τοῦ Μελίσσου καὶ Περικλέα φησὶν αὐτὸν Ἀριστοτέλης ἡττηθῆναι ναυμαχοῦντα πρότερον.

178.

Aristoteles in Samiorum rep. Æsopum fabulas narrantem inclaruisse dicit.

179.

Aristoteles in Samiorum rep. dicit magnum Prienensium numerum ab Milesiis occisum esse prope locum quem Quercum vocant atque hinc Prienenses mulieres per tenebras apud Quercum jurare.

Quid sibi volunt tenebræ apud Quercum, quæ Prienæ memorantur? Samii et Prienenses, bello commisso, mediocribus invicem damnis se affecerunt : magno autem prœlio commisso Prienenses mille Samios trucidaverunt septimoque post anno cum Milesiis pugna congressi ad locum qui Quercus dicitur, optimos primosque civium amiserunt : quo tempore Bias Priene in Samum missus legatus claruit. Quum autem Prienenses mulieres calamitas hæc graviter perculisset, exsecratio et jusjurandum maximis de rebus constitutum est *per tenebras apud Quercum :* quod ibi liberi, parentes virique earum mortem oppetiissent.

[180.]

[Etiam cives spoliare bonis tyrannicum est. Hujus rei exemplum... opera publica Sami a Polycrate facta.]

181.

Samiorum populus multiliteratus. Samii enim a tyrannis ad incitas redacti, ob civium penuriam servorum frontibus jus civitatis quinque stateribus venale inscripserunt, ut Ar. in Samiorum rep. tradit.

[182.]

Zanclæi, quum Samios in civitatem suam recepissent, ipsi ab eis expulsi sunt.

183.

Avecto Pericle Melissus Ithagenis filius, philosophus, tunc Samiorum prætor, sive ob navium paucitatem, sive ob ducum imperitiam contemptis hostibus, suis persuasit ut Athenienses adorirentur : factoque prœlio, Samii victoria potiti sunt, multis hostium captis, multis navibus perditis, et deinde mare tenentes, ad bellum necessaria, quibus

Idem c. 28 : De crudelitate, qua Athenienses et Periclem in victos Samios sæviisse Duris narrat, nihil tradunt οὔτε Θουκυδίδης οὔτε Ἔφορος οὔτε Ἀριστοτέλης.

[Aristot. Pol. III, 8, 4 : Athenienses Samios, Chios et Lesbios ἐταπείνωσαν παρὰ τὰς συνθήκας.]

[ΚΩΩΝ.]

[184.]

[Aristot. Pol. V, 4, 2 : Ἐν Κῷ ἡ δημοκρατία μετέβαλε πονηρῶν ἐγγενομένων δημαγωγῶν· οἱ γὰρ γνώριμοι συνέστησαν.]

[ΡΟΔΙΩΝ.]

185.

[Idem V, 4, 2 : Καὶ ἐν Ῥόδῳ (sc. ἡ δημοκρατία μετέβαλε πονηρῶν ἐγγενομένων δημαγωγῶν)· μισθοφοράν τε γὰρ οἱ δημαγωγοὶ ἐπόριζον, καὶ ἐκώλυον ἀποδιδόναι τὰ ὀφειλόμενα τοῖς τριηράρχοις· οἱ δὲ διὰ τὰς ἐπιφερομένας δίκας ἠναγκάσθησαν συστάντες καταλῦσαι τὸν δῆμον.

V, 2, 5 : Διὰ δὲ φόβον στασιάζουσιν οἵ τε ἠδικηκότες, δεδιότες μὴ δῶσι δίκην, καὶ οἱ μέλλοντες ἀδικεῖσθαι, βουλόμενοι φθάσαι πρὶν ἀδικηθῆναι, ὥσπερ ἐν Ῥόδῳ συνέστησαν οἱ γνώριμοι ἐπὶ τὸν δῆμον διὰ τὰς ἐπιφερομένας δίκας.

V, 2, 6 : Διὰ καταφρόνησιν δὲ καὶ στασιάζουσι καὶ ἐπιτίθενται, οἷον... ἐν ταῖς δημοκρατίαις οἱ εὔποροι καταφρονήσαντες τῆς ἀταξίας καὶ ἀναρχίας... οἷον ἐν Ῥόδῳ ὁ δῆμος (διεφθάρη) πρὸ τῆς ἐπαναστάσεως.]

(ΣΙΝΩΠΕΩΝ.)

186.

Schol. Apoll. Rhod. II, 948 : Ἐν δὲ τοῖς Ὀρφικοῖς Ἄρεος καὶ Αἰγίνης γενεαλογεῖται ἡ Σινώπη, κατὰ δέ τινας Ἄρεος καὶ Παρνάσσης, κατ' Εὔμηλον καὶ Ἀριστοτέλην, Ἀσωποῦ· καὶ οὗτος μέν φησιν ὅτι Ἅλυν τε τὸν ποταμὸν ἐπλάνησε καὶ Ἀπόλλωνα καὶ Δία, αἰτησαμένη παρ' αὐτῶν πρότερον, ἵν' ἐπιτύχῃ οὗ ἂν ἐθέλοι· ἔπειτα εἰποῦσα παρθενίας ὀρέγεσθαι, ταύτης ἐπέτυχεν ὡς ἂν ὅρκῳ δεδεμένων αὐτῶν.

Secundum Philostephanum ap. schol. l. l. Sinope e Bœotia rapta Apollini parit Syrum filium. Indicatur genealogia Bœotos Sinopen habitasse, antequam Milesii coloniam eo mitterent. Id quod de aliis pluribus hujus tractus oppidis valet. Cf. Müller. *Min.* p. 294. Andron Teius fr. 2.

ΚΙΑΝΩΝ.

187.

Schol. Apoll. Rh. I, 1177 : Ἔστι δὲ (Κίος) πόλις Μυσίας, ἀπὸ Κίου τοῦ ἀφηγησαμένου τῆς Μιλησίων ἀποικίας, ὡς ἱστορεῖ Ἀριστοτέλης ἐν Κιανῶν πολιτείᾳ. Κατῴκησαν δὲ αὐτὴν πρῶτον Μυσοὶ, ἔπειτα Κᾶρες, τρίτον Μιλήσιοι.

Κίος (non Κῖος, v. Dindorf. in St. Thes. s. v.) sita prope Κίον fluvium ad orientalem oram sinus Cianei. V. Herodot. V, 122, Xenoph. H. Gr. I, 4, 7, Scylax § 92, Strabo XII, p. 563 sq., Mela I, 19, 4, Memnon. c. 41 not. Etym. M. s. v. Schol. Platon. p. 466 Bekker. Ceterum Straboni l. l. Cius, urbis conditor, Argonauta est et socius Herculis. Pro Cio Apollonius I, 1321 Polyphemum ponit. Cf. Müller. *Min.* p. 293.

Apud Photium cod. 161 Sopater inter fontes libri XII habuisse dicitur Aristotelis πολιτείαν Κίων : quod aut Κιανῶν fuerit, aut Κείων.

---

ante caruerant, advexerunt. Ipsum quoque Periclem ante prœlio navali victum a Melisso fuisse, Aristoteles scribit.

[Athenienses Samios, Chios et Lesbios contra pacta depresserunt.]

[COORUM.]

[184]

[In insula Co democratia mutata est, exortis in ea improbis demagogis : nobiles enim coiverunt.]

[RHODIORUM.]

[185.]

[Item Rhodi (democratia mutata est, exortis in ea improbis demagogis); reditus enim ad mercedem transferebant, et triremium præfectis justa persolvere vetabant. Illi autem judiciorum intentato metu coacti sunt, coitione facta, populi potentiam evertere.

Propter metum seditionem commovent et qui injuriam fecerunt, ne dent pœnas, et qui suspicantur futurum, ut injuria afficiantur, volentes antevertere priusquam injuste lædantur, quemadmodum Rhodi nobiles in populum coierunt propter pœnarum metum.

Propter contemptum seditionem excitant et impetu facto in alios invadunt, ut... in democratiis locupletes contempta confusione et perturbatione rerum imperiique... Sic Rhodi popularis status labefactatus est ante secundam optimatium rebellionem.]

(SINOPENSIUM.)

186.

In Orphicis carminibus Martis et Æginæ filia fuisse Sinope dicitur, apud nonnullos Martis et Parnasses; apud Eumelum et Aristotelem Asopi. Ac hic quidem narrat eam decepisse et Halyn et Apollinem et Jovem. Petiverat enim ut primum ipsa iis quæ postularet potiretur; postulasse autem dicunt virginitatem, eamque obtinuisse, quum illi juramento obstricti tenerentur.

CIANORUM.

187.

Cius, Mysiæ urbs, nomen habet a Cio, qui Milesiorum

[ΗΡΑΚΛΕΩΤΩΝ ΤΩΝ ΕΝ ΠΟΝΤΩ.]

[188.]

[Aristot. Pol. V, 5, 5 : Demagogia facile laborant eæ oligarchiæ, in quibus τὰ δικαστήρια μὴ ἐκ τοῦ πολιτεύματός ἐστιν· δημαγωγοῦντες γὰρ πρὸς τὰς κρίσεις μεταβάλλουσι τὴν πολιτείαν, ὅπερ καὶ ἐν τῇ Ἡρακλείᾳ ἐγένετο τῇ ἐν τῷ Πόντῳ.

V, 5, 2 : Ὁτὲ μὲν γὰρ ἐξ αὐτῶν τῶν εὐπόρων, οὐ τῶν ὄντων δ' ἐν ταῖς ἀρχαῖς γίνεται κατάλυσις (sc. ὀλιγαρχίας), ὅταν ὀλίγοι σφόδρα ὦσιν οἱ ἐν ταῖς τιμαῖς, οἷον ἐν Μασσαλίᾳ καὶ ἐν Ἴστρῳ καὶ ἐν Ἡρακλείᾳ καὶ ἐν ἄλλαις πόλεσι συμβέβηκεν· οἱ γὰρ μὴ μετέχοντες τῶν ἀρχῶν ἐκίνουν, ἕως μετέλαβον, οἱ πρεσβύτεροι πρότερον τῶν ἀδελφῶν, ὕστερον δ' οἱ νεώτεροι πάλιν· οὐ γὰρ ἄρχουσιν ἐνιαχοῦ μὲν ἅμα πατήρ τε καὶ υἱός, ἐνιαχοῦ δὲ ὁ πρεσβύτερος καὶ ὁ νεώτερος ἀδελφός. Καὶ ἔνθα μὲν πολιτικωτέρα ἐγένετο ἡ ὀλιγαρχία, ἐν Ἴστρῳ δ' εἰς δῆμον ἀπετελεύτησεν, ἐν Ἡρακλείᾳ δ' ἐξ ἐλαττόνων εἰς ἑξακοσίους ἦλθε.

V, 5, 11 : Ἐκ δὲ δικαστηρίου κρίσεως ἐν Ἡρακλείᾳ στάσις ἐγένετο κτλ. Vide Resp. Theban. fr. 113.

V, 4, 2 : Κατελύθη δὲ καὶ ἐν Ἡρακλείᾳ ὁ δῆμος μετὰ τὸν ἀποικισμὸν εὐθὺς διὰ τοὺς δημαγωγούς· ἀδικούμενοι γὰρ ὑπ' αὐτῶν οἱ γνώριμοι ἐξέπιπτον, ἔπειτα ἀθροισθέντες οἱ ἐκπίπτοντες καὶ κατελθόντες κατέλυσαν τὸν δῆμον.

VII, 5, 7 : Πλήθους δὲ ὑπάρχοντος περιοίκων καὶ τῶν τὴν χώραν γεωργούντων, ἀφθονίαν ἀναγκαῖον εἶναι καὶ ναυτῶν· ὁρῶμεν δὲ καὶ τοῦτο καὶ νῦν ὑπάρχον τισίν, οἷον τῇ πόλει τῶν Ἡρακλεωτῶν· πολλὰς γὰρ ἐκπληροῦσι τριήρεις κεκτημένοι τῷ μεγέθει πόλιν ἑτέρων ἐμμελεστέραν.]

[ΑΒΥΔΗΝΩΝ.]

[189.]

[Aristot. Pol. V, 5, 5 : Inter oligarchos facile demagogus exsistit ἐν ὅσαις ὀλιγαρχίαις οὐχ οὗτοι (sc. οἱ ἐν ὀλιγαρχίᾳ ὄντες) αἱροῦνται τὰς ἀρχὰς ἐξ ὧν οἱ ἄρχοντές εἰσιν, ἀλλ' αἱ μὲν ἀρχαὶ ἐκ τιμημάτων μεγάλων εἰσὶν ἢ ἑταιριῶν, αἱροῦνται δ' οἱ ὁπλῖται ἢ ὁ δῆμος, ὅπερ ἐν Ἀβύδῳ συνέβαινεν.

Id. V, 5, 9. V. Resp. Larissæorum. fr. 150.]

(ΑΝΤΑΝΔΡΙΩΝ)

190.

Stephan. Byz. : Ἄντανδρος, πόλις ὑπὸ τὴν Ἴδην πρὸς τῇ Μυσίᾳ τῆς Αἰολίδος, ἀπὸ Ἀντάνδρου τοῦ στρατηγοῦ Αἰολέων... Ἀριστοτέλης φησὶ ταύτην ὠνομάσθαι Ἠδωνίδα διὰ τὸ Θρᾷκας Ἠδωνοὺς ὄντας οἰκῆσαι καὶ Κιμμερίδα Κιμμερίων ἐνοικούντων ἑκατὸν ἔτη.

De Antandro, Pelasgorum Tyrrhenicorum urbe, v. Herodot. VII, 42; V, 26, Conon c. 41. Mela I, 18, 2. Müller. *Min.* p. 444, Welcker. *Trilog.* p. 201, n. 327. In universum cf. Strabo XIII, p. 606, Mannert *Geogr.* VI, 3, p. 418.

---

coloniam eo deduxit, uti tradit Aristoteles in Cianorum rep. Incoluere eam primum Mysi, deinde Cares, tertii Milesii.

[HERACLEOTARUM PONTICORUM.]

[188.]

[Demagogia facile laborant eæ oligarchiæ ubi rebus judicandis non præsunt ii qui rempublicam administrant. Colentes enim populum judiciorum gratia reipublicæ statum mutant, quod et Heracleæ, quæ in Ponto est, accidit.

Interdum enim ab ipsis divitibus, non iis tamen, qui provecti sunt ad magistratus, nascitur oligarchiæ interitus, quum valde pauci sunt ii qui honoribus funguntur, ut Massiliæ et Istri et Heracleæ et in aliis urbibus accidit. Nam qui magistratuum participes non erant, rebus novandis studuerunt, usque dum ipsi etiam participes facti sunt : fratres quidem majores natu prius, posterius vero iterum minores. Non enim magistratum simul obtinent in nonnullis locis pater et filius : in quibusdam frater natu major et minor. Atque Massiliæ quidem reipublicæ administratio politicæ similior facta est, Istri vero in democratiam evasit. At Heracleæ a paucioribus potentibus ad sexcentos translata est.

Seditio, quæ Heracleæ exarsit, ex judiciali sententia orta est.

Heracleæ quoque popularis status dissolutus est statim post coloniam eo missam, culpa popularium ductorum. Nobiles enim injuria affecti exire e civitate coacti sunt : deinde qui ejecti fuerant, in unum contractis copiis, in civitatem ab exilio reversi, democratiam sustulerunt.

Si accolarum et agros colentium multitudo adsit, nautarum etiam copiam abunde suppetere necesse est, ut hac quoque memoria quibusdam usu venire novimus, ut Heracleotarum civitati, qui licet minorem aliis urbem habitent, multas tamen triremes complent.]

[ABYDENORUM.]

[189.]

[Inter oligarchos facile demagogus exsistit, in quibus non hi legendorum magistratuum jus habent, ex quorum ordine sumuntur magistratus, sed magistratus quidem fiunt ex magnis censibus aut sodalitatibus, verum eligunt eo aut milites aut populus, quod Abydi contigit.]

(ANTANDRIORUM.)

190.

Antandrus, urbs sub Ida monte ad Mysiam Æolidis, nomen habet ab Antandro Æolum duce. Aristoteles tradit eam nominatam esse Edonidem, quod Edones Thraces inhabitaverint, et Cimmeridem, quod Cimmerii tenuerint eam per annos centum.

(ΑΔΡΑΜΥΤΤΗΝΩΝ.)

191.

Steph. Byz.: Ἀδραμύττειον, πόλις τῆς κατὰ Κάϊκον Μυσίας... Κέκληται ἀπὸ Ἀνδραμύτου κτιστοῦ, παιδὸς μὲν Ἀλυάττου, Κροίσου δὲ ἀδελφοῦ, ὡς Ἀριστοτέλης ἐν Πολιτείαις καὶ ἄλλοι, τινὲς δὲ ἀπὸ Ἕρμωνος τοῦ Λυδῶν βασιλέως· τὸν γὰρ Ἕρμωνα Λυδοὶ Ἄδραμυν καλοῦσι Φρυγιστί. Cf. Strabo XIII, p. 623 sq. Ἄδραμυν Nicolaus (e Xantho) p. 453 Val. Sadyattæ nothum dicit. Ἀδραμών, ὁ Ἕρμων Hesych.; Ἀδραμύτην Lydorum regem affert Athenæus XII, p. 615, E. Ceterum de Adramyttio variisque nominis formis multi sunt interpretes ad Herodot. VII, 42, Thucyd. V, 1. Cf. Poppo Prolegg. ad Thuc. tom. II, p. 441; Eckhel. D. N. p. 448; Creuzer. Fr. Hist. p. 188.

ΚΥΜΑΙΩΝ.

192.

Schol. Eur. Med. 19: Αἰσυμνᾶν ἐστι τὸ ἡγεῖσθαι καὶ ἄρχειν· ἰδίως δὲ φησὶν Ἀριστοτέλης ὑπὸ Κυμαίων αἰσυμνήτην τὸν ἄρχοντα λέγεσθαι. Verba ἰδίως — λέγεσθαι habet etiam Etym. M. p. 39, 15.

Argument. Sophocl. OEd. Tyr.: Ὅτι δὲ νεώτερον τὸ τοῦ τυράννου ὄνομα δῆλον· οὔτε γὰρ Ὅμηρος οὔτε Ἡσίοδος οὔτε ἄλλος οὐδεὶς τῶν παλαιῶν τύραννον ἐν τοῖς ποιήμασιν ὀνομάζει· ὁ δὲ Ἀριστοτέλης ἐν Κυμαίων πολιτείᾳ τοὺς τυράννους φησὶ τὸ πρότερον αἰσυμνήτας προσαγορεύεσθαι. Εὐφημότερόν γ' ἐκεῖνο τοὔνομα. Cf. Aristot. Pol. III, 9, 5; Dionys. Hal. A. R. V, 7, 3; Steph. Thes. v. Αἰσυμνήτης, Αἰσυμνάω; Hermann. *Antiqq.* § 63.

193.

Apostolius Prov. V, 65: Βλακὸς ἀχρηστότερος... Οἱ δὲ ἀπὸ τοῦ πρὸς τῇ Κύμῃ χωρίου Βλακείας (Βλακίας Etym. M.), οὗ μέμνηται καὶ Ἀριστοτέλης. Eadem Etym. M. p. 199, 10. Cf. St. Thes. v. Βλάξ. Attulerit hæc Aristoteles de pinguibus quæ Cumanis attribuebantur ingeniis loquens.

[194.]

[Aristot. Pol. II, 5, 12: Ἐν Κύμῃ περὶ τὰ φονικὰ νόμος ἐστίν, ἂν πλῆθός τι παράσχηται μαρτύρων ὁ διώκων τὸν φόνον τῶν αὐτοῦ συγγενῶν, ἔνοχον εἶναι τῷ φόνῳ τὸν φεύγοντα.

V, 4, 3: Συνέβη δὲ ταὐτὸν καὶ περὶ Κύμην ἐπὶ τῆς δημοκρατίας, ἣν κατέλυσε Θρασύμαχος.] Antecedentia v. in Rep. Megar. fr. 104. Ceterum dubitatum est num ad Asiæ an Italiæ urbem hoc pertineat.

[ΕΡΥΘΡΑΙΩΝ.]

[195.]

[Aristot. Pol. V, 5, 4: Καὶ ἐν Ἐρυθραῖς δὲ ἐπὶ τῆς τῶν Βασιλιδῶν ὀλιγαρχίας ἐν τοῖς ἀρχαίοις χρόνοις, καίπερ καλῶς ἐπιμελουμένων τῶν ἐν τῇ πολιτείᾳ, ὅμως διὰ τὸ ὑπ' ὀλίγων ἄρχεσθαι, ἀγανακτῶν ὁ δῆμος μετέβαλε τὴν πολιτείαν.]

[ΚΛΑΖΟΜΕΝΙΩΝ.]

[196.]

[Idem ib. V, 2, 12: Στασιάζουσι δὲ ἐνίοτε αἱ πόλεις καὶ διὰ τοὺς τόπους, ὅταν μὴ εὐφυῶς ἔχῃ ἡ χώρα πρὸς τὸ μίαν εἶναι πόλιν, οἷον ἐν Κλαζομεναῖς οἱ ἐπὶ Χύτρῳ (Χύτῳ Ephor. fr. 136; Χύτριον Strab. p. 645) πρὸς τοὺς ἐν νήσῳ, καὶ Κολοφώνιοι καὶ Νοτιεῖς.]

(ADRAMYTTENORUM.)

191.

Adramyttium, urbs Mysiæ, quæ Caico proxima; nomen habet ab Adramyto conditore, Alyattæ filio, fratre Crœsi, ut ait Aristoteles in Rebuspublicis et alii; nonnulli vero nominatam dicunt ab Hermone Lydorum rege: sciiicet Hermonem Lydi Adramyn vocant lingua Phrygia.

CUMANORUM.

192.

Αἰσυμνᾶν est imperare et regnare. Proprio autem modo Cumani αἰσυμνήτην summum magistratum vocant, teste Aristotele.

Aristoteles in Cumanorum republica dicit tyrannos olim αἰσυμνήτας appellatos esse, quoniam id nomen honestius.

193.

Blace ineptior dici nonnulli putant a Blace, loco prope Cumam sito, cujus meminit etiam Aristoteles.

[194.]

[Lex est Cumis de cæde, si quis accusator aliquem testium numerum produxerit, qui sibi cognati sint, reum cædis pœna teneri.

Idem et Cumis accidit, qua in urbe democratiam Thrasymachus funditus delevit.]

[ERYTHRÆORUM.]

[195.]

[Erythris Basilidis oligarchiam obtinentibus, priscis illis temporibus, quamvis rempublicam bene procurarent, indigne ferens tamen populus, quod paucorum imperio subjectus esset, reipublicæ statum mutavit.]

[CLAZOMENIORUM.]

[196.]

[Seditiones oriuntur interdum in civitatibus etiam de sedibus, quum loci natura parum est ad urbem et civitatem unam constituendam idonea: ut Clazomenis inter eos qui

ΚΟΛΟΦΩΝΙΩΝ.

197.

Athenæus XIV, p. 618, E : Ἦν δὲ καὶ ἐπὶ ταῖς ἑώραις τις ἐπ' Ἠριγόνῃ, ἣν καὶ Ἀλῆτιν λέγουσιν ᾠδήν. Ἀριστοτέλης γοῦν ἐν τῇ Κολοφωνίων πολιτείᾳ φησίν· « Ἀπέθανε δὲ καὶ αὐτὸς ὁ Θεόδωρος ὕστερον βιαίῳ θανάτῳ· λέγεται δὲ γενέσθαι τρυφῶν τις, ὡς ἐκ τῆς ποιήσεως δῆλόν ἐστιν· ἔτι γὰρ καὶ νῦν αἱ γυναῖκες ᾄδουσιν αὐτοῦ μέλη περὶ τὰς ἑώρας. »

Cf. Pollux IV, 55 : Ἦν τι δὲ καὶ ἀλῆτις ᾆσμα ταῖς αἰώραις προσᾳδόμενον, Θεοδώρου ποίημα τοῦ Κολοφωνίου. De festi ratione v. Meursius Gr. fer. s. v. Αἰώρα, Welcker. *Nachtrag z. Tril.* p. 222 sqq.; Schwenck. *Andeut.* p. 48 sq.; Hermann. *Gottesdienstl. Alterth.* § 26 et 62.

[198.]

[Aristot. Pol. IV, 3, 9 : Ἐν Κολοφῶνι τὸ παλαιὸν.. ἐκέκτηντο μακρὰν οὐσίαν οἱ πλείους πρὶν γενέσθαι τὸν πόλεμον πρὸς τοὺς Λυδούς.] Alium Aristot. locum v. fr. 196.

[ΜΑΓΝΗΤΩΝ.]

[198 a.]

De Magnesiis ad Mæandrum quæ memorat Aristot. Pol. IV, 3, 2, vide fr. 109. De iisdem laudatur Ἀριστοτέλης ἢ Θεόφραστος ἐν τοῖς Ὑπομνήμασι apud Athenæum IV, p. 173, F, ubi postquam e Semo Delio narraverat Delios Delum venientibus præbere salem, acetum et oleum et ligna et stragula, pergit : Ἀριστοτέλης δ' ἢ Θεόφραστος ἐν τοῖς Ὑπομνήμασι, περὶ Μαγνήτων λέγων τῶν ἐπὶ τοῦ Μαιάνδρου ποταμοῦ, ὅτι Δελφῶν εἰσιν ἄποικοι, τοσαύτας ἐπιτελοῦντας αὐτοὺς ποιεῖ χρείας τοῖς παραγιγνομένοις τῶν ξένων, λέγων οὕτως· « Μάγνητες, οἱ ἐπὶ τῷ Μαιάνδρῳ ποταμῷ κατοικοῦντες, ἱεροὶ τοῦ θεοῦ, Δελφῶν ἄποικοι, παρέχουσι τοῖς ἐπιδημοῦσι στέγην, ἅλας, ἔλαιον, ὄξος, ἐπίλυχνον, κλίνας, στρώματα, τραπέζας. »

Quæ quidem Ὑπομνήματα cujusnam generis fuerint, nescio. Alter locus quem ex iisdem affert Athenæus XIV, p. 655, C, ad historiam naturalem pertinet.

(ΜΙΛΗΣΙΩΝ.)

199.

Parthenius Erot. c. 14 : Περὶ Ἀνθέως. Ἱστορεῖ Ἀριστοτέλης καὶ οἱ τὰ Μιλησιακά. — Ἐκ δὲ Ἁλικαρνασσοῦ παῖς Ἀνθεὺς, ἐκ βασιλείου γένους, ὡμήρευσε παρὰ Φοβίῳ, ἑνὶ τῶν Νηλειδῶν, τότε κρατοῦντι Μιλησίων. Τούτου Κλεόβοια, ἥν τινες Φιλαίχμην ἐκάλεσαν, τοῦ Φοβίου γυνὴ, ἐρασθεῖσα, πολλὰ ἐμηχανᾶτο εἰς τὸ προσαγαγέσθαι τὸν παῖδα. Ὡς δὲ ἐκεῖνος ἀπεωθεῖτο, ποτὲ μὲν φάσκων ὀρρωδεῖν, μὴ κατάδηλος γένοιτο, ποτὲ δὲ Δία ξένιον καὶ κοινὴν τράπεζαν προϊσχόμενος, ἡ Κλεόβοια κακῶς φερομένη, ἐν νῷ εἶχε τίσασθαι αὐτὸν, ἀνηλεῆ τε καὶ ὑπέραυχον ἀποκαλουμένη. Ἔνθα δὴ, χρόνου προϊόντος, τοῦ μὲν ἔρωτος ἀπηλλάχθαι προσεποιήθη· πέρδικα δὲ τιθασὸν εἰς βαθὺ φρέαρ κατασοβήσασα, ἐδεῖτο τοῦ Ἀνθέως, ὅπως κατελθὼν ἀνέλοιτο αὐτόν. Τοῦ δὲ ἑτοίμως ὑπακούσαντος διὰ τὸ μηδὲν ὑφορᾶσθαι, ἡ Κλεόβοια ἐπισείει στιβαρὸν αὐτῷ πέτρον. Καὶ ὁ μὲν παραχρῆμα ἐτεθνήκει, ἡ δὲ ἄρα

Chytrum incolebant, et insulanos, et inter Colophonios et Notienses.

COLOPHONIORUM.

197.

Erat etiam cantilena aliqua quam Aletam vocant et Oscillorum festis diebus canunt in honorem Erigonæ. Aristoteles in Colophoniorum rep. ait : « Mortuus vero est deinde ipse etiam Theodorus morte violenta. Dicitur autem fuisse homo luxuriæ indulgens, quod etiam ex carminibus ejus patet. Nam etiamnum mulieres carmina ejus canunt Oscillorum festis diebus. »

[198.]

[Colophone olim, antequam bellum adversus Lydos ortus esset, major pars civium magnas facultates possidebat.]

[MAGNESIORUM.]

[198 a.]

[Aristoteles vel Theophrastus in Commentariis, postquam de Magnetibus Mæandrum fluvium accolentibus dixit, esse eos Delphorum colonos, eandem operam præstantes facit peregrinis qui eos conveniunt. Verba ejus hæc sunt : « Magnetes qui ad Mæandrum fl. habitant, deo consecrati, Delphorum coloni, peregrinantibus qui eos conveniunt, lectum præbent, salem, oleum, acetum, lucernam, stragulas, lectos, mensas. »

(MILESIORUM.)

199.

De Antheo. Narrat Aristoteles et scriptores rerum Milesiacarum. — Antheus regii generis ex Halicarnasso adolescens Phobio Nelidæ tunc Milesiis imperanti obses datus fuit. In hujus amorem Cleobœa (quam quidam Philæchmen vocarunt) Phobii uxor illapsa, multa sane machinata est, quibus adolescentem illiceret. Quum autem ille eam aversaretur, aliquando quidem timorem prætexuit, ne videlicet manifestum id fieret, aliquando autem hospitii jus et communem mensam causatus est, tamdiu ut Cleobœa ægre rem ferens, in animo haberet ulcisci eum, immisericordem ipsum et superbum vocans. Quare temporis progressu amorem in se exstinctum simulabat, ac perdicem cicurem in profundum puteum demittens, Antheum rogavit ut descenderet atque extraheret illam. Ille itaque quum prompte obediret (nihil enim mali suspicabatur), Cleobœa super eum dejicit ingens saxum, unde ille statim mortuus est.

ἐννοηθεῖσα ὡς δεινὸν ἔργον δεδράκοι, καὶ ἄλλως δὲ καομένη σφοδρῷ ἔρωτι τοῦ παιδὸς, ἀναρτᾷ ἑαυτήν. Φόβιος μέντοι διὰ ταύτην τὴν αἰτίαν ὡς ἐναγὴς παρεχώρησε Φρυγίῳ τῆς ἀρχῆς. Ἔφασαν δέ τινες, οὐ πέρδικα, σκεῦος δὲ χρυσοῦν εἰς τὸ φρέαρ βεβλῆσθαι, ὡς καὶ Ἀλέξανδρος ὁ Αἰτωλὸς μέμνηται.

Quod sequitur fragmentum Alexandri Ætoli illustratum habes a Jacobsio in Anthol. Gr. tom. VII, p. 239, Bach in *Zeitschrift. f. Alt. — W.* 1837, N° 41. De Antheadum familia cf. Müller. *Dor.* I, p. 108. Cum Phobio nostro cf. Phobum Codridam Phocæensium regem in Charonis fr. 6.

200.

Athenæus XII, p. 523, E : Ὡς δ' ὑπήχθησαν (sc. οἱ Μιλήσιοι) ἡδονῇ καὶ τρυφῇ, κατερρύη τὸ τῆς πόλεως ἀνδρεῖον, φησὶν Ἀριστοτέλης, καὶ παροιμία τις ἐγεννήθη ἐπ' αὐτῶν· Πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι. Eadem ex Athenæo Eustath. Il. ψ, 444, p. 1358, 5. Quæ antecedunt ap. Athenæum vid. in Ephor. fr. 92.

[201.]

[Aristot. Pol. I, 4, 5 : Οἷον καὶ τὸ Θάλεω τοῦ Μιλησίου· τοῦτο γάρ ἐστι κατανόημά τι χρηματιστικὸν, ἀλλ' ἐκείνῳ μὲν διὰ τὴν σοφίαν προσάπτουσι, τυγχάνει δὲ καθόλου τι ὄν. Ὀνειδιζόντων γὰρ αὐτῷ διὰ τὴν πενίαν ὡς ἀνωφελοῦς τῆς φιλοσοφίας οὔσης, κατανοήσαντά φασιν αὐτὸν ἐλαιῶν φορὰν ἐσομένην ἐκ τῆς ἀστρολογίας, ἔτι χειμῶνος ὄντος, εὐπορήσαντα χρημάτων ὀλίγων ἀρραβῶνας διαδοῦναι τῶν ἐλαιουργίων τῶν τ' ἐν Μιλήτῳ καὶ Χίῳ πάντων, ὀλίγου μισθωσάμενον, ἅτ' οὐθενὸς ἐπιβάλλοντος· ἐπειδὴ δ' ὁ καιρὸς ἧκε, πολλῶν ζητουμένων ἅμα καὶ ἐξαίφνης, ἐκμισθοῦντα ὃν τρόπον ἠβούλετο, πολλὰ χρήματα συλλέξαντα ἐπιδεῖξαι, ὅτι ῥάδιόν ἐστι πλουτεῖν τοῖς φιλοσόφοις, ἂν βούλωνται, ἀλλ' οὐ τοῦτ' ἐστὶ περὶ οὗ σπουδάζουσιν.

Id. ib. V, 4, 5 : Ἐγίγνοντο δὲ τυραννίδες πρότερον μᾶλλον ἢ νῦν καὶ διὰ τὸ μεγάλας ἀρχὰς ἐγχειρίζεσθαί τισιν, ὥσπερ ἐν Μιλήτῳ ἐκ τῆς πρυτανείας· πολλῶν γὰρ ἦν καὶ μεγάλων κύριος ὁ πρύτανις.]

De Hippodamo Milesio qui πρῶτος τῶν μὴ πολιτευομένων ἐνεχείρησέ τι περὶ πολιτείας εἰπεῖν τῆς ἀρίστης, v. Arist. II, 5, 1—5; de Telecle Milesio, qui item Πολιτείαν scripsit, v. id. IV, 11, 3.

(ΙΑΣΕΩΝ.)

201 a.

Schol. Ven. Il. B. 126 : Ἔθος πλείονας τῶν δέκα μὴ συνεσθίειν, ὡς καὶ Ἀριστοτέλης ἐν Πολιτείαις. Hæc ad Iasensium Remp. refert Grashof., propter Heraclidis Pontici fr. 39.

[ΚΝΙΔΙΩΝ.]

[202.]

[Aristot. Pol. V, 5, 3 : Μετέβαλε δὲ καὶ ἐν Κνίδῳ ἡ ὀλιγαρχία, στασιασάντων τῶν γνωρίμων αὐτῶν πρὸς αὐτοὺς, διὰ τὸ ὀλίγους μετέχειν, καὶ, καθάπερ εἴρηται, εἰ πατήρ, υἱὸν μὴ μετέχειν, μηδ' εἰ πλείους ἀδελφοὶ, ἀλλ' ἢ τὸν πρεσβύτατον· ἐπιλαβόμενος γὰρ στασιαζόντων ὁ δῆμος καὶ λαβὼν προστάτην ἐκ τῶν γνωρίμων, ἐπιθέμενος ἐκράτησεν· ἀσθενὲς γὰρ τὸ στασιάζον.]

Alium de Cnidiis locum (V, 5, 11) v. fr. 174.

Ipsa vero animo volvens quam grave flagitium perpetrasset, atque alias etiam vehementi adolescentis amore flagrans, se ipsam suspendit. Porro Phobius ob eandem causam tanquam scelestus Phrygio regnum cessit. Dixerunt autem nonnulli non perdicem, sed vasculum aureum in puteum projectum fuisse, ut Alexander Ætolus.

200.

Milesii postquam voluptatibus et luxuriæ succubuerunt, enervatum concidit civitatis robur, ut ait Aristoteles, et enatum in eos est proverbium : *Fortes olim fuerunt Milesii.*

[201.]

Cujusmodi est etiam illud Thaletis Milesii : nam hoc inventum quoddam acutum est ad pecuniam quærendam accommodatum, quanquam illi quidem id propter sapientiam attribuunt. Quum enim ei paupertatem vitio verterent atque exprobrarent, tanquam sapientiæ studium inutile sit, aiunt eum, quum ex astrologia intellexisset olearum ubertatem fore, hieme nondum exacta, paucorum nummorum copia instructum, omnes molas et cellas oleareas, quæ Mileti et in Chio essent, datis arrhabonibus parvo conduxisse, quippe quum licitator nullus, qui mercedem augeret, exstitisset. Ubi autem tempus venit, quum multæ simul et subito quærerentur molæ, illis suo arbitratu et quanti vellet, elocatis, multas pecunias coegisse atque ita ostendisse, facile esse philosophis, si velint, ditescere : sed hoc non esse id, in quod studium suum conferant.

Exsistebant tyrannides antea magis quam nunc, etiam quia magna imperia certis hominibus tradebantur : ut Mileti tyrannis ex prytania facta est : multarum enim et magnarum rerum penes prytanim potestas erat.

(IASENSIUM.)

201 a.

Mos erat (*apud Iasenses*) non ultra decem convivio adhibere, ut Aristoteles in Politiis ait.

[CNIDIORUM.]

[202.]

[Mutata etiam in Cnido oligarchia est, quum optimates ipsi inter se dissedissent, propterea quod pauci reipublicæ administrationis participes erant : et, quemadmodum dictum est, si pater magistratum obtinebat, filius a magistratu excludebatur; et si plures fratres erant, soli natu maximo aditus ad magistratus patebat. Nam quum populus eos inter se dissidentes occupasset, et ex optimatium numero ducem

ΛΥΚΙΩΝ.

Λυκίων πολιτεία Aristotelis usus est Sopater libro duodecimo, teste Photio cod. 161.

ΚΥΠΡΙΩΝ.

203.

Harpocration : Ἄνακτες καὶ ἄνασσαι· οἱ μὲν υἱοὶ τοῦ βασιλέως καὶ οἱ ἀδελφοὶ καλοῦνται ἄνακτες, αἱ δὲ ἀδελφαὶ καὶ γυναῖκες ἄνασσαι· Ἀριστοτέλης ἐν τῇ Κυπρίων πολιτείᾳ.

Eadem Suidas et Etym. M. « Aristotelem in observatione tam pervulgata (vide vel Musgr. in Soph. Œd. R. 85) appellari potuisse miraremur, nisi de rationibus Cypriorum ἀνάκτων accurate nobis constaret ex Athenæo VI, p. 256 sive Eustathio in Il. N. p. 947 [e Clearchi Gergithio]. » *Bernhardy* ad Suid.

[204.]

[Aristot. Pol. V, 8, 10 : Καὶ ἡ (ἐπίθεσις) τοῦ εὐνούχου Εὐαγόρᾳ τῷ Κυπρίῳ (sc. δι' ὕβριν ἐγένετο)· διὰ γὰρ τὸ τὴν γυναῖκα παρελέσθαι τὸν υἱὸν αὐτοῦ ἀπέκτεινεν ὡς ὑβρισμένος.] V. Diodor. 15, 47.

205.

Schol. Pindar. Pyth. II, 127 : Ἀριστοτέλης δὲ πρῶτον Ἀχιλλέα ἐπὶ τῇ τοῦ Πατρόκλου πυρᾷ τῇ πυρρίχῃ φησὶ κεχρῆσθαι, ἣν παρὰ Κυπρίοις φησὶ Πρύλιν λέγεσθαι, ὥστε παρὰ τὴν πυρὰν τῆς πυρρίχης τὸ ὄνομα θέσθαι. V. Bœckh. De metris Pind. p. 271. Hœckh. *Creta* III, 345 sqq. Ceterum num recte hæc ad Cypriorum remp. referantur, potest dubitari.

ΚΥΡΗΝΑΙΩΝ.

206.

Schol. Aristoph. Plut. 925 : Βάττος Κυρήνην ἔκτισεν ἐλθὼν ἀπὸ Θήρας τῆς κατὰ Κρήτην νήσου· ὃν τιμήσαντες Λίβυες ἐχαρίσαντο αὐτῷ τὸ κάλλιστον τῶν λαχάνων τὸ σίλφιον, καὶ ἐν νομίσματι αὐτὸν ἐχάραξαν, τῇ μὲν βασιλείαν, τῇ δὲ σίλφιον παρὰ τῆς πόλεως δεχόμενον, ὡς Ἀριστοτέλης ἐν τῇ Κυρηναίων πολιτείᾳ. Ἔνθεν καὶ ἡ παροιμία ἐπὶ τῶν διαφόρους καὶ ἐξόχους τιμὰς δεχομένων.... Βάττος, ὁ καὶ Ἀριστοτέλης, ἐν Λιβύῃ Κυρήνην λεγομένην ἔκτισε κατὰ τὸν δοθέντα αὐτῷ παρὰ τοῦ Ἀπόλλωνος χρησμόν· καὶ οἱ πολῖται οἱ Κυρηναῖοι ἀνταπόδοσιν τῆς εὐεργεσίας βουλόμενοι χαρίσασθαι τῷ βασιλεῖ, ἐποίησαν [εἰκόνα, ὡς δὲ τινές; hæc interponit Aldina] δακτύλιον, ἐν ᾧ ἡ πόλις αὐτῶν προσφέρει τῷ βασιλεῖ τὸ σίλφιον· καὶ τὸ φύλλον δὲ αὐτοῦ καὶ ὁ καρπὸς καὶ ὁ καυλὸς καὶ ὁ ὀπὸς καὶ ἁπλῶς τὸ πᾶν αὐτοῦ πολλῆς τιμῆς ἄξιόν ἐστιν.

Cf. Suidas : Βάττου σίλφιον· ἐπὶ τῶν σπανίους τιμὰς λαμβανόντων· οἱ γὰρ Κυρηναῖοι ἑνὶ τῶν Βάττων ἐξαίρετον ἔδοσαν τὸ σίλφιον καὶ τοῦ νομίσματος ἐπὶ μὲν θατέρου Ἄμμωνα, ἐπὶ δὲ θατέρου σίλφιον ἐτύπωσαν· οἱ δὲ ἐπὶ Λιβύης Ἀμπελιῶται εἰς Δελφοὺς ἀνέθεσαν καυλὸν σιλφίου. Hesych. : Ἄμμους, ὁ Ζεύς. Ἀριστοτέλης. Apostol. V, 40; Arsenius 137; Bekker. An. I, p. 224; Appendix Prov. I, 51 ibiq. Leutsch V. *Thrige* De reb. Cyrenæorum p. 30 sqq.

207.

Pollux IX, 62 : Ἦν μέντοι, ὡς Ἀριστοτέλης φησίν, ἐν Κυρήνῃ καὶ τετραστάτηρον καὶ στατὴρ καὶ ἡμιστάτηρον χρυσᾶ νομίσματα. Cf. Pollux IX, 60 : Ἦν δὲ οὐ δραχμὴ νόμισμα μόνον, ἀλλὰ καὶ πεντηκοντάδραχμον καὶ πεντάδραχμον παρὰ Κυρηναίοις, καὶ τετράδραχμον ἐκαλεῖτο καὶ τρίδραχμον καὶ δίδραχμον.

Apud Etym. M. p. 33, 3 : Αἰθὴρ, παρὰ τὸ ἀεὶ θεῖν κυκλοφορικῶς, φησὶν Ἀριστοτέλης περὶ Κυρηναίων, legendum Ἀρ. περὶ οὐρανίων aut Ἀριστοτέλης ὁ Κυρηναῖος.

[208.]

[Aristot. Pol. VI, 2, 10 : Πρὸς δὲ τὸ καταστάναι

---

cepisset, impetu facto eos adortus profligavit, rerumque potitus est. Imbecillum enim est omne quod discordat.]

CYPRIORUM.

203.

Filii regis et fratres appellantur ἄνακτες, sorores et uxores ἄνασσαι. Aristoteles in Cypriorum Rep.

[204.]

[Propter illatam ipsi contumeliam etiam eunuchus ille Evagoram Cyprium adortus est. Nam propterea, quod uxor ipsi ab illius filio adempta esset, eum interfecit, tanquam contumelia accepta.]

205.

Aristoteles dicit primum Achillem ad Patroclis rogum pyrrhiche usum esse, quam saltationem Cypriis Prylin appellari ait. Pyrrichen vero nominatam esse a pyra illa sive rogo.

CYRENÆORUM.

206.

Battus a Thera, quæ insula e regione Cretæ sita est, profectus Cyrenas condidit. Quem quum in honore Libyes haberent, gratificati ei sunt pulcherrimum olerum, silphium, atque imaginem Batti in nummo expresserunt altera manu potestatem regiam, altera silphium ab urbe accipientem, ut Aristoteles tradit in Cyrenæorum rep. Hinc etiam proverbium (Βάττου σίλφιον) de iis quibus eximii et insignes honores habentur, usurpari solet.

Ammon, i. e. Jupiter. Aristoteles.

207.

Erat etiam, ut Aristoteles tradit, Cyrenis quadristater et stater et semistater, aurea numismata.

[208.]

[Ad constituendam autem hanc democratiam (sc. in qua

ταύτην τὴν δημοκρατίαν (sc. in qua omnes cives reip. administrationis participes sint), καὶ τὸν δῆμον ποιεῖν ἰσχυρὸν εἰώθασιν οἱ προεστῶτες τῷ προσλαμβάνειν ὡς πλείστους, καὶ ποιεῖν πολίτας μὴ μόνον τοὺς γνησίους, ἀλλὰ καὶ τοὺς ἐξ ὁποτερουοῦν πολίτου, λέγω δὲ οἷον πατρὸς ἢ μητρός· ἅπαν γὰρ οἰκεῖον τοῦτο τῷ τοιούτῳ δήμῳ μᾶλλον. Εἰώθασι μὲν οὖν οἱ δημαγωγοὶ κατασκευάζειν οὕτω· δεῖ μέντοι προσλαμβάνειν μέχρις ἂν ὑπερτείνῃ τὸ πλῆθος τῶν γνωρίμων καὶ τῶν μέσων, καὶ τούτου μὴ πέρα προβαίνειν· ὑπερβάλλοντες γὰρ ἀτακτοτέραν τε ποιοῦσι τὴν πολιτείαν, καὶ τοὺς γνωρίμους πρὸς τὸ χαλεπῶς ὑπομένειν τὴν δημοκρατίαν παροξύνουσι μᾶλλον· ὅπερ συνέβη τῆς στάσεως αἴτιον γενέσθαι περὶ Κυρήνην· ὀλίγον μὲν γὰρ πονηρὸν παρορᾶται· πολὺ δὲ γινόμενον ἐν ὀφθαλμοῖς μᾶλλόν ἐστιν. Ἔτι δὲ καὶ τὰ τοιαῦτα κατασκευάσματα χρήσιμα πρὸς τὴν δημοκρατίαν τὴν τοιαύτην, οἷς Κλεισθένης τε Ἀθήνησιν ἐχρήσατο, βουλόμενος αὐξῆσαι τὴν δημοκρατίαν, καὶ περὶ Κυρήνην οἱ τὸν δῆμον καθιστάντες· φυλαί τε γὰρ ἕτεραι ποιητέαι πλείους καὶ φρατρίαι, καὶ τὰ τῶν ἰδίων ἱερῶν συνακτέον εἰς ὀλίγα καὶ κοινὰ, καὶ πάντα σοφιστέον, ὅπως ἂν ὅτι μάλιστα ἀναμιχθῶσι πάντες ἀλλήλοις, αἱ δὲ συνήθειαι διαζευχθῶσιν αἱ πρότερον.]

[ΚΑΡΧΗΔΟΝΙΩΝ.]

209.

[Aristot. Pol. II, 8: Πολιτεύεσθαι δὲ δοκοῦσι καὶ Καρχηδόνιοι καλῶς, καὶ πολλὰ περιττῶς πρὸς τοὺς ἄλλους, μάλιστα δ' ἔνια παραπλησίως τοῖς Λάκωσιν· αὗται γὰρ αἱ πολιτεῖαι τρεῖς ἀλλήλαις τε σύνεγγύς πως εἰσὶ, καὶ τῶν ἄλλων πολὺ διαφέρουσιν, ἥ τε Κρητικὴ καὶ ἡ Λακωνικὴ καὶ τρίτη τούτων ἡ τῶν Καρχηδονίων. Καὶ πολλὰ τῶν τεταγμένων ἔχει παρ' αὐτοῖς καλῶς· σημεῖον δὲ πολιτείας συντεταγμένης τὸ τὸν δῆμον ἔχουσαν διαμένειν ἐν τῇ τάξει τῆς πολιτείας, καὶ μήτε στάσιν, ὅ τι καὶ ἄξιον εἰπεῖν, γεγενῆσθαι μήτε τύραννον. (2) Ἔχει δὲ παραπλήσια τῇ Λακωνικῇ πολιτείᾳ τὰ μὲν συσσίτια τῶν ἑταιριῶν τοῖς φιδιτίοις, τὴν δὲ τῶν ἑκατὸν καὶ τεττάρων ἀρχὴν τοῖς ἐφόροις (πλὴν οὐ χεῖρον οἱ μὲν ἐκ τῶν τυχόντων εἰσὶ, ταύτην δ' αἱροῦνται τὴν ἀρχὴν ἀριστίνδην), τοὺς δὲ βασιλεῖς καὶ τὴν γερουσίαν ἀνάλογον τοῖς ἐκεῖ βασιλεῦσι καὶ γέρουσιν. Καὶ βέλτιον δὲ τοὺς βασιλεῖς μήτε κατὰ τὸ αὐτὸ εἶναι γένος, μήτε τοῦτο τὸ τυχὸν, εἰ δὲ διαφέρον, ἐκ τούτων αἱρετοὺς μᾶλλον ἢ κατ' ἡλικίαν· μεγάλων γὰρ κύριοι καθεστῶτες, ἂν εὐτελεῖς ὦσι, μεγάλα βλάπτουσι καὶ ἔβλαψαν ἤδη τὴν πόλιν τὴν τῶν Λακεδαιμονίων. (3) Τὰ μὲν οὖν πλεῖστα τῶν ἐπιτιμηθέντων ἂν διὰ τὰς παρεκβάσεις κοινὰ τυγχάνει πάσαις ὄντα ταῖς εἰρημέναις πολιτείαις· τῶν δὲ πρὸς τὴν ὑπόθεσιν τῆς ἀριστοκρατίας καὶ τῆς πολιτείας τὰ μὲν εἰς δῆμον ἐκκλίνει μᾶλλον, τὰ δ' εἰς ὀλιγαρχίαν. Τοῦ μὲν γὰρ τὰ μὲν προσάγειν, τὰ δὲ μὴ προσάγειν πρὸς τὸν δῆμον οἱ βασιλεῖς κύριοι μετὰ τῶν γερόντων, ἂν ὁμογνωμονῶσι πάντες· εἰ δὲ μὴ, καὶ τούτων ὁ δῆμος. Ἃ δ' ἂν εἰσφέρωσιν οὗτοι, οὐ διακοῦσαι μόνον ἀποδιδόασι τῷ δήμῳ τὰ δόξαντα τοῖς ἄρχουσιν,

---

omnes cives reipublicæ administrationis participes sint) et populum validum efficiendum, solent populi duces quam plurimos asciscere non solum legitimos cives, sed etiam nothos et ex alterutro parente cive procreatos, hoc est, ex patre aut matre. Omne enim genus hoc hominum ad talem democratiam magis accommodatum est. Solent igitur demagogi hæc excogitare et machinari: sed oportet assumere usque eo, dum multitudo nobiles et medios superet, nec tamen ultra procedere convenit. Nam si modum superent, statum reipublicæ magis perturbant, magisque nobiles ira incendunt, quo minus statum popularem ferant: quod Cyrenis causa fuit seditionis. Nam exiguum malum non animadvertitur: idem si fiat majus, magis in oculos incurrit. Præterea ad talem democratiam utilia sunt talia commenta atque inventa, quibus Clisthenes Athenis usus est, quum democratiam amplificare atque augere vellet, et ii qui Cyrenis democratiam constituerunt. Nam et aliæ pluresque tribus et curiæ faciendæ sunt; omnia denique artificia adhibenda sunt, ut quammaxime omnes inter se permisceantur, pristinæ autem consuetudines et societates disjungantur atque aboleantur.]

[CARTHAGINIENSIUM.]

[209.]

[Existimantur autem etiam Carthaginienses reipublicæ administrandæ ratione uti recta, et multis in rebus eximia atque egregia, si cum aliis comparetur; in nonnullis autem Lacedæmoniorum reipublicæ consimili. Hæ enim tres respublicæ quum inter se quodammodo sint similes, tum ab aliis longe differunt: Cretensis, inquam, et Laconica et tertia Carthaginiensis. Multaque eorum, quæ apud Carthaginienses constituta sunt, præclare se habent. Argumento autem est, hanc rempublicam bene esse descriptam, quod quum populum habeat rerum compotem, maneat in descriptione et ordinatione reipublicæ, neque aut seditio unquam in eo coorta sit, memoratu quidem illa digna, aut tyrannus exstiterit. (2) Habet autem hæc Laconicæ reipublicæ similia: primum sodalitiorum convivia, phiditiis; deinde centum et quattuor virûm imperium, ephororum potestati, et melius quidem institutum. Illi enim e vulgo sunt, hi autem ad hoc imperium eliguntur, ut quisque virtute et dignitate præstat. Postremo reges et senatum habet Lacedæmoniorum regibus et senatui respondentes. Et vero reges quidem rectius creant, neque ex eodem perpetuo genere neque ex quovis fortuna oblato; sin præstans aliquod est, ex eo reges electio, non ætas facit. Nam magnarum rerum domini et compotes effecti, si sint vulgares homines atque abjecti, magna damna inferunt, et magna jam intulerunt Lacedæmoniorum civitati. (3) Plurima igitur eorum, quæ reprehendi possunt propter declinationem a recta ratione reipublicæ, communia huic fuerunt cum aliis rebuspublicis, quas commemoravimus. Eorum autem, quæ optimatium principatum et politiam finem sibi propositum habent, partim quidem ad populi potentiam, alia vero ad paucorum dominatum magis declinant. Reges enim

ἀλλὰ κύριοι κρίνειν εἰσὶ καὶ τῷ βουλομένῳ τοῖς εἰσφερομένοις ἀντειπεῖν ἔξεστιν, ὅπερ ἐν ταῖς ἑτέραις πολιτείαις οὐκ ἔστιν. (4) Τὸ δὲ τὰς πενταρχίας κυρίας οὔσας πολλῶν καὶ μεγάλων ὑφ' αὑτῶν αἱρετὰς εἶναι, καὶ τὴν τῶν ἑκατὸν ταύτας αἱρεῖσθαι τὴν μεγίστην ἀρχήν, ἔτι δὲ ταύτας πλείονα ἄρχειν χρόνον τῶν ἄλλων (καὶ γὰρ ἐξεληλυθότες ἄρχουσι καὶ μέλλοντες) ὀλιγαρχικόν, τὸ δ' ἀμίσθους καὶ μὴ κληρωτὰς, ἀριστοκρατικὸν θετέον, καὶ εἴ τι τοιοῦτον ἕτερον, καὶ τὸ τὰς δίκας ὑπὸ τῶν ἀρχείων πάντων δικάζεσθαι πάσας, καὶ μὴ ἄλλας ὑπ' ἄλλων, καθάπερ ἐν Λακεδαίμονι. (5) Παρεκβαίνει δὲ τῆς ἀριστοκρατίας ἡ τάξις τῶν Καρχηδονίων μάλιστα πρὸς τὴν ὀλιγαρχίαν κατά τινα διάνοιαν, ἣ συνδοκεῖ τοῖς πολλοῖς· οὐ γὰρ μόνον ἀριστίνδην, ἀλλὰ καὶ πλουτίνδην οἴονται δεῖν αἱρεῖσθαι τοὺς ἄρχοντς· ἀδύνατον γὰρ τὸν ἀποροῦντα καλῶς ἄρχειν καὶ σχολάζειν. Εἴπερ οὖν τὸ μὲν αἱρεῖσθαι πλουτίνδην ὀλιγαρχικὸν, τὸ δὲ κατ' ἀρετὴν ἀριστοκρατικὸν, αὕτη τις ἂν εἴη τάξις τρίτη, καθ' ἥνπερ συντέτακται καὶ τοῖς Καρχηδονίοις τὰ περὶ τὴν πολιτείαν· αἱροῦνται γὰρ εἰς δύο ταῦτα βλέποντες καὶ μάλιστα τὰς μεγίστας, τούς τε βασιλεῖς καὶ τοὺς στρατηγούς. (6) Δεῖ δὲ νομίζειν ἁμάρτημα νομοθέτου τὴν παρέκβασιν εἶναι τῆς ἀριστοκρατίας ταύτην. ἐξ ἀρχῆς γὰρ τοῦθ' ὁρᾶν ἔστι τῶν ἀναγκαιοτάτων, ὅπως οἱ βέλτιστοι δύνωνται σχολάζειν, καὶ μηδὲν ἀσχημονεῖν μὴ μόνον ἄρχοντες, ἀλλὰ μηδ' ἰδιωτεύοντες. Εἰ δὲ δεῖ βλέπειν καὶ πρὸς εὐπορίαν χάριν σχολῆς, φαῦλον τὸ τὰς μεγίστας ὠνητὰς εἶναι τῶν ἀρχῶν, τήν τε βασιλείαν καὶ τὴν στρατηγίαν· ἔντιμον γὰρ ὁ νόμος οὗτος ποιεῖ τὸν πλοῦτον μᾶλλον τῆς ἀρετῆς, καὶ τὴν πόλιν ὅλην φιλοχρήματον. (7) Ὅ τι δὲ ἂν ὑπολάβῃ τίμιον εἶναι τὸ κύριον, ἀνάγκη καὶ τὴν τῶν ἄλλων πολιτῶν δόξαν ἀκολουθεῖν τούτοις· ὅπου δὲ μὴ μάλιστα ἀρετὴ τιμᾶται, ταύτην οὐχ οἷόν τε εἶναι βεβαίως ἀριστοκρατικὴν πολιτείαν. Ἐθίζεσθαι δ' εὔλογον κερδαίνειν τοὺς ὠνουμένους, ὅταν δαπανήσαντες ἄρχωσιν· ἄτοπον γὰρ, εἰ πένης μὲν ὢν ἐπιεικὴς δὲ βουλήσεται κερδαίνειν, φαυλότερος δ' ὢν οὐ βουλήσεται δαπανήσας. Διὸ δεῖ τοὺς δυναμένους ἀρισταρχεῖν, τούτους ἄρχειν. Βέλτιον δ' εἰ καὶ προεῖτο τὴν εὐπορίαν τῶν ἐπιεικῶν ὁ νομοθέτης, ἀλλὰ ἀρχόντων γε ἐπιμελεῖσθαι τῆς σχολῆς. (8) Φαῦλον δ' ἂν δόξειεν εἶναι καὶ τὸ πλείους ἀρχὰς τὸν αὐτὸν ἄρχειν, ὅπερ εὐδοκιμεῖ παρὰ τοῖς Καρχηδονίοις· ἓν γὰρ ὑφ' ἑνὸς ἔργον ἄριστ' ἀποτελεῖται. Δεῖ δ' ὅπως γίνηται τοῦθ' ὁρᾶν τὸν νομοθέτην, καὶ μὴ προστάττειν τὸν αὐτὸν αὐλεῖν καὶ σκυτοτομεῖν. Ὥσθ' ὅπου μὴ μικρὰ πόλις, πολιτικώτερον πλείονας μετέχειν τῶν ἀρχῶν, καὶ δημοτικώτερον· κοινότερόν τε γὰρ, καθάπερ εἴπομεν, καὶ

---

Stobæus Ecl. phys. p. 524 ed. Heeren. : Ἡράκλειτος καὶ Ἑκαταῖος ἄναμμα νοερὸν τὸ ἐκ θαλάττης εἶναι τὸν ἥλιον, σκαφοειδῆ δ' εἶναι ὑπόκυρτον· γίνεσθαι δὲ τὴν ἔκλειψιν κατὰ τὴν τοῦ σκαφοειδοῦς στροφήν, ὥστε τὸ μὲν κοῖλον ἄνω γίγνεσθαι, τὸ δὲ κυρτὸν κάτω, πρὸς τὴν ἡμετέραν ὄψιν· τὸ δὲ μέγεθος ἔχειν εὖρος ποδὸς ἀνθρωπείου.

Cf. Damascius De princip. p. 261. 386, qui (ex Hecatæo) refert secundum Ægyptiorum doctrinam τὸν ἥλιον εἶναι αὐτὸν τὸν νοῦν τὸν νοητόν. Porphyrius De antr. nymph. c. 11 : Καὶ διὰ τοῦτο ἄμμα μὲν νοερὸν εἶναι τὸν ἥλιον ἐκ θαλάσσης. Diog. L. VII, 145. Ceterum Creuzerus (in *Wien. Jahrb. f. Lit.* 1844 fasc. II, p. 35) hæc Milesio Hecatæo vindicavit. Quod non probavit mihi vir clarissimus. Schleiermacherus quoque (in *Wolfs u. Buttm. Mu-*

---

sub Carambycam fluvium, a quo insulares Carambycæ dicuntur, ut Hecatæus Abderita refert.

Carambycæ, Hyperboreorum gens, a Carambyca fluvio, uti Hecatæus Abderita.

6.

Fabulosa apud Hecatæum est de Cimmeride urbe narratio.

DE REBUS ÆGYPTIORUM.

7.

DE ÆGYPTIORUM PHILOSOPHIA.

Ægyptiorum philosophiam hujusmodi esse de diis ac justitia dixerunt. Materiam principium fuisse rerum : ex ea deinceps quattuor elementa discreta, perfectasque omnis generis animantes : solem ac lunam deos esse, alterumque Osirim, alteram Isim appellatam; exprimi illos per scarabeum et draconem, accipitrem aliaque animalia Manethos auctor est in Naturalium epitome et Hecatæus in primo de Ægyptiorum philosophia libro. Statuas præterea et fana fabricare, quod ignorent effigiem dei. Mundum genitum mortalemque et ad sphæræ similitudinem rotundum : stellas ignem esse, quarum temperata commixtione cuncta super terram nascuntur : lunam deficere quum in terræ incidit umbram : animum et corpori superesse et ex alio in aliud migrare : pluvias ex aeris conversionibus fieri. Ista et hujusmodi illos de rerum natura disserere Hecatæus et Aristagoras tradunt. De justitia quoque leges constituerunt, quas ad Mercurium referunt. Utiles quasque et usui hominum accommodatas animantes divino honore prosecuti sunt. Asserunt etiam geometriam, astrologiam et arithmeticam se primos invenisse.

8.

Heraclitus et Hecatæus ignem marinum intellectus participem solem esse dixerunt, ac scaphæ figuram subincurvam habere. Defectum quoque secundum hujus figuræ conversionem evenire, quum videlicet parte concava a nobis aversa, convexa ad nos spectat. Magnitudinem denique habere quanta sit humani pedis latitudo.

seum f. Alterthumsw. p. 399) hocce placitum ab Jonicis philosophis alienum esse censet. Cf. Brandis *Gesch. d. Philos.* I, p. 168. Heracliti sententiam de sole in scaphæ formam subcurvo laudat etiam Plutarchus De Plac. phil. II, 22 p. 890 D. Cf. Forbiger. *Alt. Geogr.* I, p. 503. 515.

9.

Plutarchus De Is. et Os. c. 9 p. 354 : Ἔτι δὲ τῶν πολλῶν νομιζόντων ἴδιον παρ' Αἰγυπτίοις ὄνομα τοῦ Διὸς εἶναι τὸν Ἀμοῦν (ὃ παράγοντες ἡμεῖς Ἄμμωνα λέγομεν), Μανεθὼς μὲν ὁ Σεβεννίτης τὸ κεκρυμμένον οἴεται καὶ τὴν κρύψιν ὑπὸ ταύτης δηλοῦσθαι τῆς φωνῆς· Ἑκαταῖος δὲ ὁ Ἀβδηρίτης φησὶ τούτῳ καὶ πρὸς ἀλλήλους τῷ ῥήματι χρῆσθαι τοὺς Αἰγυπτίους, ὅταν τινὰ προσκαλῶνται· προσκλητικὴν γὰρ εἶναι τὴν φωνήν. Διὸ τὸν πρῶτον θεὸν, [ὃν] τῷ παντὶ τὸν αὐτὸν νομίζουσιν, ὡς ἀφανῆ καὶ κεκρυμμένον ὄντα, προσκαλούμενοι καὶ παρακαλοῦντες ἐμφανῆ γενέσθαι καὶ δῆλον αὐτοῖς, Ἀμοῦν λέγουσιν. Ἡ μὲν οὖν εὐλάβεια τῆς περὶ τὰ θεῖα σοφίας Αἰγυπτίων, τοσαύτη ἦν.

10.

Plutarchus De Os. et Is. c. 6 p. 353 B : Οἶνον δὲ οἱ μὲν ἐν Ἡλίου πόλει θεραπεύοντες τὸν θεὸν οὐκ εἰςφέρουσι τοπαράπαν εἰς τὸ ἱερὸν, ὡς οὐ προσῆκον ἡμέρας πίνειν, τοῦ κυρίου καὶ βασιλέως ἐφορῶντος· οἱ δ' ἄλλοι χρῶνται μὲν, ὀλίγῳ δέ· πολλὰς δ' ἀοίνους ἁγνείας ἔχουσιν, ἐν αἷς φιλοσοφοῦντες καὶ μανθάνοντες καὶ διδάσκοντες τὰ θεῖα διατελοῦσιν. Οἱ δὲ βασιλεῖς καὶ μετρητὸν ἔπινον ἐκ τῶν ἱερῶν γραμμάτων, ὡς Ἑκαταῖος ἱστόρηκεν, ἱερεῖς ὄντες· ἤρξαντο δὲ πίνειν ἀπὸ Ψαμμετίχου κτλ. Vide quæ sequuntur apud Plutarchum ex Eudoxi Periodo depromta.

(11.)

Schol. Apollon. Rh. IV, 284 : Ἑκαταῖος δὲ ἱστορεῖ μὴ ἐκδιδόναι εἰς τὴν θάλασσαν τὸν Φᾶσιν, οὐδ' ὡς διὰ Ταναΐδος ἔπλευσαν, ἀλλὰ κατὰ τὸν αὐτὸν πλοῦν, καθ' ὃν καὶ πρότερον, ὡς Σοφοκλῆς ἐν Σκύθαις ἱστορεῖ.

Hæc non esse Milesii apparet ex schol. ad II, 259 ubi : Ἑκαταῖος δὲ ὁ Μιλήσιος ἐκ τοῦ Φάσιδος διελθεῖν εἰς τὸν Ὠκεανὸν, εἶτα ἐκεῖθεν εἰς τὸν Νεῖλον (sc. Argonautas). Potuit de his Abderita monere in Ægyptiacis, refellens eorum sententiam, qui Argonautas in Nilum ex oceano innavigasse dicebant. At melius etiam fragmentum cadit in Hecatæum Eretriensem, ex cujus geographicis quæ comperta habemus (v. not. ad Onesicrit. fr. 5.), omnia spectant ad regiones Ponticas. De re. cf. Herodor. fr. 55, p. 38.

12.

Diodor. I, 46, 6 : Εἶναι δέ φασι καὶ τάφους ἐνταῦθα (Thebis) τῶν ἀρχαίων βασιλέων θαυμαστοὺς καὶ τῶν μεταγενεστέρων τοῖς εἰς τὰ παραπλήσια φιλοτιμουμένοις ὑπερβολὴν οὐκ ἀπολείποντας. Οἱ μὲν οὖν ἱερεῖς ἐκ τῶν ἀναγραφῶν ἔφασαν εὑρίσκειν ἑπτὰ πρὸς τοῖς τετταράκοντα τάφους βασιλικούς· εἰς δὲ Πτολεμαῖον τὸν Λάγου διαμεῖναί φασιν ἑπτακαίδεκα μόνον, ὧν τὰ πολλὰ κατέφθαρτο καθ' οὓς χρόνους παρεβάλομεν ἡμεῖς εἰς ἐκείνους τοὺς τόπους, ἐπὶ τῆς ἑκατοστῆς καὶ ὀγδοηκοστῆς Ὀλυμπιάδος. Οὐ μόνον δ' οἱ κατ' Αἴγυπτον ἱερεῖς ἐκ τῶν ἀναγραφῶν ἱστοροῦσιν, ἀλλὰ καὶ πολλοὶ τῶν Ἑλλήνων τῶν παραβαλλόντων μὲν εἰς τὰς Θήβας ἐπὶ Πτολεμαίου τοῦ Λάγου, συνταξαμένων δὲ τὰς Αἰγυπτιακὰς ἱστορίας, ὧν ἐστι καὶ Ἑκαταῖος, συμφωνοῦσι τοῖς ὑφ' ἡμῶν εἰρημένοις.

9.

Quum plerique existiment peculiare apud Ægyptios nomen Jovis esse *Amun*, quos nos producto vocabulo *Ammonem* dicimus : Manethos Sebennita ea voce occultatum, et occultationem judicat significari : Hecatæus autem Abderita hoc verbo invicem uti Ægyptios ait quum alter alterum vocat; esse enim vocem invocativam; quare quum principem deum eumdem atque Universum putent, utpote obscurum et absconditum, vocari ab iis et orari *Amun* dicentibus, ut prodat se ac conspiciendum præbeat. Talis ergo fuit Ægyptiorum accuratio in contemplatione rerum divinarum.

10.

Vinum ii qui Heliopoli Solem colunt sacris, nullum prorsus in templum inferunt; quod non conveniat interdiu bibere, domino et rege inspiciente : reliqui vino utuntur, sed modico admodum, habentque multos ritus, quos abstemii obeunt, ubi philosophando rebusque sacris docendis ac discendis tempus exigitur. Reges quoque ex sacrarum præscripto literarum certa mensura vinum bibebant, ut scribit Hecatæus, quia et ipsi essent sacerdotes. Bibere tamen cœpere a Psammeticho etc.

(11.)

Hecatæus narrat non effluere in mare Phasin, neque per Tanaidem Argonautas navigasse, sed eadem via rediisse, qua venerant, ut Sophocles in Scythis narrat.

12.

Thebis mirifica sunt priscorum regum sepulcra, quæ posteris ad similis magnificentiæ studium nihil reliqui fecerunt. Horumque sacerdotes dixerunt sepulcrorum regiorum in sacris commentariis quadraginta septem inveniri : sed ad Ptolemæum Lagi septemdecim tantum remansisse, quorum pleraque nobis Ægyptum lustrantibus ad Olympiadem centesimam corrupta fuerant. Nec vero a sacerdotibus tantum Ægyptiis hæc e libris sacris referuntur, sed et Græcorum multi, qui Ptolemæi Lagi ætate Thebas profecti historias Ægyptiacas contexuerunt, inter quos etiam Hecatæus est, cum narratione hac nostra consentiunt.

XLVII. A primis enim sepulcris, quibus Jovis pellices conditas esse traditur, decem stadiis abesse narrant regis, quem vocant Osymandyam, monumentum; sub cujus introitum e vario lapide atrium longitudine duûm plethrûm et altitudine cubitorum quadraginta quinque. (2) Hinc digresso

XLVII. Ἀπὸ γὰρ τῶν πρώτων τάφων, ἐν οἷς παραδέδοται τὰς παλλακίδας τοῦ Διὸς τεθάφθαι, δέκα σταδίων φασὶν ὑπάρξαι βασιλέως μνῆμα τοῦ προσαγορευθέντος Ὀσυμανδύου· τούτου δὲ κατὰ μὲν τὴν εἴσοδον ὑπάρχειν πυλῶνα λίθου ποικίλου, τὸ μὲν μῆκος δίπλεθρον, τὸ δ' ὕψος τετταράκοντα καὶ πέντε πηχῶν· (2) διελθόντι δὲ αὐτὸν εἶναι λίθινον περίστυλον τετράγωνον, ἑκάστης πλευρᾶς οὔσης τεττάρων πλέθρων· ὑπηρεῖσθαι δ' ἀντὶ τῶν κιόνων ζῴδια πηχῶν ἑκκαίδεκα μονόλιθα, τὸν τύπον εἰς τὸν ἀρχαῖον τρόπον εἰργασμένα· τὴν ὀροφήν τε πᾶσαν ἐπὶ πλάτος δυοῖν ὀργυιῶν ὑπάρχειν μονόλιθον, ἀστέρας ἐν κυανῷ καταπεποικιλμένην· ἑξῆς δὲ τοῦ περιστύλου πάλιν ἑτέραν εἴσοδον καὶ πυλῶνα τὰ μὲν ἄλλα παραπλήσιον τῷ προειρημένῳ, γλυφαῖς δὲ παντοίαις περιττότερον εἰργασμένον. (3) Παρὰ δὲ τὴν εἴσοδον ἀνδριάντας εἶναι τρεῖς ἐξ ἑνὸς τοὺς πάντας λίθου Μέμνονος τοῦ Συηνίτου· καὶ τούτων ἕνα μὲν καθήμενον ὑπάρχειν μέγιστον πάντων τῶν κατ' Αἴγυπτον, οὗ τὸν πόδα μετρούμενον ὑπερβάλλειν τοὺς ἑπτὰ πήχεις, ἑτέρους δὲ δύο πρὸς τοῖς γόνασι, τὸν μὲν ἐκ δεξιῶν, τὸν δὲ ἐξ εὐωνύμων, θυγατρὸς καὶ μητρός, τῷ μεγέθει λειπομένους τοῦ προειρημένου. (4) Τὸ δ' ἔργον τοῦτο μὴ μόνον εἶναι κατὰ τὸ μέγεθος ἀποδοχῆς ἄξιον, ἀλλὰ καὶ τῇ τέχνῃ θαυμαστὸν καὶ τῇ τοῦ λίθου φύσει διαφέρον, ὡς ἂν ἐν τηλικούτῳ μεγέθει μήτε διαφυάδος μήτε κηλῖδος μηδεμιᾶς θεωρουμένης. Ἐπιγεγράφθαι δ' ἐπ' αὐτοῦ « Βασιλεὺς βασιλέων Ὀσυμανδύας εἰμί· εἰ δέ τις εἰδέναι βούλεται πηλίκος εἰμὶ καὶ ποῦ κεῖμαι, νικάτω τι τῶν ἐμῶν ἔργων. » (5) Εἶναι δὲ καὶ ἄλλην εἰκόνα τῆς μητρὸς αὐτοῦ καθ' αὐτὴν εἴκοσι πηχῶν μονόλιθον, ἔχουσαν δὲ τρεῖς βασιλείας ἐπὶ τῆς κεφαλῆς, ἃς διασημαίνειν ὅτι καὶ θυγατὴρ καὶ γυνὴ καὶ μήτηρ βασιλέως ὑπῆρξε. (6) Μετὰ δὲ τὸν πυλῶνα περίστυλον εἶναι τοῦ προτέρου ἀξιολογώτερον, ἐν ᾧ γλυφὰς ὑπάρχειν παντοίας δηλούσας τὸν πόλεμον τὸν γενόμενον αὐτῷ πρὸς τοὺς ἐν τοῖς Βάκτροις ἀποστάντας· ἐφ' οὓς ἐστρατεῦσθαι πεζῶν μὲν τετταράκοντα μυριάσιν, ἱππεῦσι δὲ δισμυρίοις, εἰς τέτταρα μέρη διῃρημένης τῆς πάσης στρατιᾶς, ὧν ἁπάντων υἱοὺς τοῦ βασιλέως ἐσχηκέναι τὴν ἡγεμονίαν.

XVLIII. Καὶ κατὰ μὲν τὸν πρῶτον τῶν τοίχων τὸν βασιλέα κατεσκευάσθαι πολιορκοῦντα τεῖχος ὑπὸ ποταμοῦ περίρρυτον καὶ προκινδυνεύοντα πρός τινας ἀντιτεταγμένους μετὰ λέοντος, συναγωνιζομένου τοῦ θηρίου καταπληκτικῶς· ὑπὲρ οὗ τῶν ἐξηγουμένων οἱ μὲν ἔφασαν πρὸς ἀλήθειαν χειροήθη λέοντα τρεφόμενον ὑπὸ τοῦ βασιλέως συγκινδυνεύειν αὐτῷ κατὰ τὰς μάχας καὶ τροπὴν ποιεῖν τῶν ἐναντίων διὰ τὴν ἀλκήν, τινὲς δ' ἱστόρουν ὅτι καθ' ὑπερβολὴν ἀνδρεῖος ὢν καὶ φορτικός, ἑαυτὸν ἐγκωμιάζειν βουλόμενος, διὰ τῆς τοῦ λέοντος εἰκόνος τὴν διάθεσιν ἑαυτοῦ τῆς ψυχῆς ἐσήμαινεν. (2) Ἐν δὲ τῷ δευτέρῳ τοίχῳ τοὺς αἰχμαλώτους ὑπὸ τοῦ βασιλέως ἀγομένους εἰργάσθαι τά τε αἰδοῖα καὶ τὰς χεῖρας οὐκ ἔχοντας, δι' ὧν δοκεῖν δηλοῦσθαι διότι ταῖς ψυχαῖς ἄνανδροι καὶ κατὰ τὰς ἐν τοῖς δεινοῖς ἐνεργείας ἄχειρες ἦσαν. (3) Τὸν δὲ τρίτον ἔχειν γλυφὰς παντοίας καὶ διαπρεπεῖς γραφάς, δι' ὧν δηλοῦσθαι βουθυσίας τοῦ βασιλέως καὶ θρίαμβον ἀπὸ τοῦ πολέμου καταγόμενον. (4) Κατὰ δὲ μέσον τὸν περίστυλον ὑπαίθριον βωμὸν ᾠκοδομῆσθαι τοῦ καλλίστου λίθου τῇ τε χειρουργίᾳ διάφορον καὶ τῷ μεγέθει θαυμαστόν. (5) Κατὰ δὲ τὸν τελευταῖον τοῖχον ὑπάρχειν ἀνδριάντας

---

lapideum occurrere peristylium quadratum, cujus unumquodque latus quaternûm plethrorum : columnarum loco animalium (*Osiridis*) figuris sedecim cubitorum ex uno saxo, figuris ad antiquum morem cælatis, suffultum. Totum vero tectum et lacunar duas orgyias latum et stellis in cæruleo variegatum e solido lapide constare; secundum id peristylium, ingressum rursus alium et atrium esse, cetera assimile priori, sed variis sculpturis uberius elaboratum. (3) In aditu tres statuas videri ex uno saxo omnes Syenite (*opus Memnonis Syenitæ?*). Harum unam sedere, omnium in Ægypto maximam : quæ pedis sui mensura excederet cubitos septem. Reliquas duas ad genua illius repositas, alteram a dextris, a sinistris alteram, filiæ nimirum et matris, prioris magnitudinem non assequentes. (4) Opus id non tantum ob magnitudinem commendatione dignum, sed etiam ob artem admirandum et saxi natura excellens, quum in tam vasta mole neque fissura, neque labes ulla conspiceretur. Hanc véro inscriptionem præferre : « Sum Osymandyas, rex regum. Si quis nosse velit, quantus sim et ubi jaceam, meorum aliquid operum vincat. (5) Aliam insuper imaginem esse matris illius seorsum, cubitorum viginti uno saxo cònstantem; in cujus capite tres fascias regias, quibus significaretur, filiam uxorem et matrem regis fuisse. (6) Secundum hoc atrium, aiunt, peristylium erat priore memorabilius, in quo variæ sculpturæ repræsentantes bellum contra Bactros, qui desciverant ab eo, gestum; in quos expeditionem fecerit cum quadringentis millibus peditum, et viginti millibus equitum; exercituque in quattuor agmina diviso, omnibus cum imperio filii regis præfuisse memorantur.

XLVIII. In primo itaque pariete rex videtur murum oppugnans amni circumfluum in primaque acie cum adversis hostibus quibusdam dimicans, leone socio, qui terribilem in modum regi opitulatur. Quod pars interpretum de vero leone accipiendum esse affirmabat, quem mansuefactum rex aluerit, quique ad pugnarum discrimina cum eo descendens, roboris strenuitate in fugam hostes verterit. Pars aliter explicabat, quod quum majorem in modum fortis esset et insolens, suas ita laudes referre voluerit, imagine leonis animi sui habitum significans. (2) In secundo pariete captivi regis trahuntur, absque virilibus et manibus effigiati : quo effeminatos animos, nullasque in periculosis negotiis manus habuisse illos, significatum videtur. (3) Tertius inde paries omnis generis sculpturas et picturas insignes exhibet; quibus victimæ regis et triumphus a bello isto actus exprimuntur. (4) In medio peristylio ara sub dio ex lapide pulcherrimo constructa erat, artificio manuum excellens et magnitudine admiranda. (5) In ultimo pariete duæ sunt imagines residentes, ex integro saxo viginti septem cubitorum. Juxta quas tres e peristylio introitus facti

καθημένους δύο μονολίθους ἑπτὰ καὶ εἴκοσι πηχῶν, παρ' οὓς εἰςόδους τρεῖς ἐκ τοῦ περιστύλου κατεσκευάσθαι, καθ' ἃς οἶκον ὑπάρχειν ὑπόστυλον, ᾠδείου τρόπον κατεσκευασμένον, ἑκάστην πλευρὰν ἔχοντα δίπλεθρον. (6) Ἐν τούτῳ δ' εἶναι πλῆθος ἀνδριάντων ξυλίνων, διασημαῖνον τοὺς τὰς ἀμφισβητήσεις ἔχοντας καὶ προσβλέποντας τοῖς τὰς δίκας κρίνουσι· τούτους δ' ἐφ' ἑνὸς τῶν τοίχων ἐγγεγλύφθαι τριάκοντα τὸν ἀριθμόν, καὶ κατὰ τὸ μέσον τὸν ἀρχιδικαστήν, ἔχοντα τὴν ἀλήθειαν ἐξηρτημένην ἐκ τοῦ τραχήλου καὶ τοὺς ὀφθαλμοὺς ἐπιμύουσαν, καὶ βιβλίων αὐτῷ παρακείμενον πλῆθος· ταύτας δὲ τὰς εἰκόνας ἐνδείκνυσθαι διὰ τοῦ σχήματος ὅτι τοὺς μὲν δικαστὰς οὐδὲν δεῖ λαμβάνειν, τὸν ἀρχιδικαστὴν δὲ πρὸς μόνην βλέπειν τὴν ἀλήθειαν.

XLIX. Ἑξῆς δ' ὑπάρχειν περίπατον οἴκων παντοδαπῶν πλήρη, καθ' οὓς παντοῖα γένη βρωτῶν κατεσκευάσθαι τῶν πρὸς ἀπόλαυσιν ἡδίστων· (2) καθ' ὃν δὴ γλυφαῖς ἐντυχεῖν εἶναι καὶ χρώμασιν ἐπηνθισμένον τὸν βασιλέα, φέροντα τῷ θεῷ χρυσὸν καὶ ἄργυρον ὃν ἐξ ἁπάσης ἐλάμβανε τῆς Αἰγύπτου κατ' ἐνιαυτὸν ἐκ τῶν ἀργυρείων καὶ χρυσείων μετάλλων· ὑπογεγράφθαι δὲ καὶ τὸ πλῆθος, ὃ συγκεφαλαιούμενον εἰς ἀργυρίου λόγον εἶναι μνῶν τρισχιλίας καὶ διακοσίας μυριάδας. (3) Ἑξῆς δ' ὑπάρχειν τὴν ἱερὰν βιβλιοθήκην, ἐφ' ἧς ἐπιγεγράφθαι Ψυχῆς ἰατρεῖον, συνεχεῖς δὲ ταύτῃ τῶν κατ' Αἴγυπτον θεῶν ἁπάντων εἰκόνας, τοῦ βασιλέως ὁμοίως δωροφοροῦντος ἃ προσῆκον ἦν ἑκάστοις, καθάπερ ἐνδεικνυμένου πρός τε τὸν Ὄσιριν καὶ τοὺς κάτω παρέδρους, ὅτι τὸν βίον ἐξετέλεσεν εὐσεβῶν καὶ δικαιοπραγῶν πρός τε ἀνθρώπους καὶ θεούς. (4) Ὁμότοιχον δὲ τῇ βιβλιοθήκῃ κατεσκευάσθαι περιττῶς οἶκον εἰκοσίκλινον, ἔχοντα τοῦ τε Διὸς καὶ τῆς Ἥρας, ἔτι δὲ τοῦ βασιλέως εἰκόνας, ἐν ᾧ δοκεῖν καὶ τὸ σῶμα τοῦ βασιλέως ἐντεθάφθαι. (5) Κύκλῳ δὲ τούτου πλῆθος οἰκημάτων κατεσκευάσθαι γραφὴν ἐχόντων εὐπρεπῆ πάντων τῶν καθιερωμένων ἐν Αἰγύπτῳ ζῴων· ἀνάβασίν τε δι' αὐτῶν εἶναι πρὸς ὅλον (?) τὸν τάφον· ἣν διελθοῦσιν ὑπάρχειν ἐπὶ τοῦ μνήματος κύκλον χρυσοῦν τριακοσίων καὶ ἑξήκοντα καὶ πέντε πηχῶν τὴν περίμετρον, τὸ δὲ πάχος πηχυαῖον· ἐπιγεγράφθαι δὲ καὶ διῃρῆσθαι καθ' ἕκαστον πῆχυν τὰς ἡμέρας τοῦ ἐνιαυτοῦ, παραγεγραμμένων τῶν κατὰ φύσιν γινομένων τοῖς ἄστροις ἀνατολῶν τε καὶ δύσεων καὶ τῶν διὰ ταύτας ἐπιτελουμένων ἐπισημασιῶν κατὰ τοὺς Αἰγυπτίους ἀστρολόγους· τοῦτον δὲ τὸν κύκλον ὑπὸ Καμβύσου καὶ Περσῶν ἔφασαν σεσυλῆσθαι καθ' οὓς χρόνους ἐκράτησεν Αἰγύπτου. (6) Τὸν μὲν οὖν Ὀσυμανδύου τοῦ βασιλέως τάφον τοιοῦτον γενέσθαι φασίν, ὃς οὐ μόνον δοκεῖ τῇ κατὰ τὴν δαπάνην χορηγίᾳ πολὺ τῶν ἄλλων διενεγκεῖν, ἀλλὰ καὶ τῇ τῶν τεχνιτῶν ἐπινοίᾳ.

Alia complura Diodorum in Ægyptiorum historia ex Hecatæo sumsisse, immo hunc præ ceteris sibi ducem selegisse proclivis est suspicio.

13.

Diodorus XL, 3 (Exc. Photii p. 542, 543): Ἡμεῖς δὲ μέλλοντες ἀναγράφειν τὸν πρὸς Ἰουδαίους πόλεμον, οἰκεῖον εἶναι διαλαμβάνομεν προδιελθεῖν ἐν κεφαλαίοις τήν τε τοῦ ἔθνους τούτου ἐξ ἀρχῆς κτίσιν καὶ τὰ παρ' αὐτοῖς νόμιμα. Κατὰ τὴν Αἴγυπτον τὸ παλαιὸν λοιμικῆς περιστάσεως γενομένης, ἀνέπεμπον οἱ πολλοὶ τὴν αἰτίαν τῶν κακῶν ἐπὶ τὸ δαιμόνιον· πολλῶν γὰρ καὶ παντοδαπῶν κατοικούντων ξένων καὶ διηλλαγμένοις ἔθεσι χρωμένων περὶ τὸ ἱερὸν καὶ τὰς θυσίας

---

atque inde domus columnis substructa, ad musici theatri instar, cujus latera singula duûm plethrorum. (6) In ea multæ ex ligno statuæ; quibus disceptantes in judicio et respectantes ad juri dicundo præfectos significantur. Hi, numero triginta, in uno parietum exsculpti. In medio est prætor judicii, Veritatem clausis oculis collo appensam plurimosque sibi libros adjacentes habens. Hac imaginum figura ostenditur, judicum esse nihil accipere et judiciorum præsidem ad solam respicere veritatem oportere.

XLIX. Exinde ambulacrum est variis ædificiis refertum; in quibus omnia esculentorum genera, quibus summa in fruendo suavitas, elaborata habentur. (2) Ibi affabre sculptus et floride pictus rex spectatur, aurum et argentum deo offerens, quod singulis annis ex omni Ægypto de argenti et auri fodinis percepit. Summa quoque adscripta quæ ad argenti rationem est trecenties vicies centena minarum millia. (3) Post hæc sacram esse dicunt bibliothecam cum inscriptione, *Officina medici, in qua animus persanari possit,* contiguasque huic omnium in Ægypto deorum imagines, rege munus unicuique competens offerente, utque Osiridi et collocatis infra assessoribus demonstraret, quomodo piam erga deos justamque in homines vitam transegisset. (4) Juxta bibliothecam domum affabre exstructam viginti lectisterniis, ubi Jovis et Junonis regisque effigies; ibique etiam regis corpus, ut videretur, tumulatum esse. (5) Circum vero undique ædes non paucas exsistere, quæ omnium in Ægypto consecratorum animalium elegantes picturas exhiberent. Inde ad summum sepulcrum ascendi. Quo superato, aureum esse circulum in ipso monumento, trecentorum sexaginta quinque cubitorum ambitu, crassitie cubitali; inscriptosque et divisos in singulos cubitos anni dies, cum notatione ortus et occasus stellarum naturalis, et significationum, quas Ægyptii astrologi ab illis effici docerent. Hic, aiunt, circulus a Cambyse et Persis abreptus est, quando in ejus potestatem Ægyptus pervenit. (6) Ad istum ergo modum Osymandyæ regis sepulcrum describunt: quod non modo sumtuum magnificentia, sed artificum etiam industria longe supergressum reliqua videtur.

13.

Nos bellum contra Judæos litterarum memoriæ prodituri, nostri officii esse ducimus, si prius summatim de origine hujus gentis et legibus ipsorum disseramus. In Ægypto lue pestifera quondam exorta, plerique mali causam ad offensam numinis referebant. Quum enim multi promiscuæ colluvionis advenæ ibi habitarent, qui peregrinis ritibus in sacrorum ministeriis et immolationibus uterentur, evenit ut aviti deorum honores apud eos exolescerent. (2) Hinc suspicio indigenis regionis illius injecta, nisi alienigenas

καταλελύσθαι συνέβαινε παρ' αὐτοῖς τὰς πατρίους τῶν θεῶν τιμάς. (2) Ὅπερ οἱ τῆς χώρας ἐγγενεῖς ὑπέλαβον, ἐὰν μὴ τοὺς ἀλλοφύλους μεταστήσωνται, κρίσιν οὐκ ἔσεσθαι τῶν κακῶν. Εὐθὺς οὖν ξενηλατουμένων τῶν ἀλλοεθνῶν, οἱ μὲν ἐπιφανέστατοι καὶ δραστικώτατοι συστραφέντες ἐξερρίφησαν, ὥς τινές φασιν, εἰς τὴν Ἑλλάδα καί τινας ἑτέρους τόπους, ἔχοντες ἀξιολόγους ἡγεμόνας, ὧν ἡγοῦντο Δάναος καὶ Κάδμος τῶν ἄλλων ἐπιφανέστατοι· ὁ δὲ πολὺς λεὼς ἐξέπεσεν εἰς τὴν νῦν καλουμένην Ἰουδαίαν, οὐ πόρρω μὲν κειμένην τῆς Αἰγύπτου, παντελῶς δὲ ἔρημον οὖσαν κατ' ἐκείνους τοὺς χρόνους. (3) Ἡγεῖτο δὲ τῆς ἀποικίας ὁ προσαγορευόμενος Μωσῆς, φρονήσει τε καὶ ἀνδρείᾳ πολὺ διαφέρων. Οὗτος δὲ καταλαβόμενος τὴν χώραν, ἄλλας τε πόλεις ἔκτισε καὶ τὴν νῦν οὖσαν ἐπιφανεστάτην, ὀνομαζομένην Ἱεροσόλυμα. Ἱδρύσατο δὲ καὶ τὸ μάλιστα παρ' αὐτοῖς τιμώμενον ἱερόν, καὶ τὰς τιμὰς καὶ ἁγιστείας τοῦ θείου κατέδειξε, καὶ τὰ κατὰ τὴν πολιτείαν ἐνομοθέτησέ τε καὶ διέταξε. Διεῖλε δὲ τὸ πλῆθος εἰς δώδεκα φυλὰς διὰ τὸ τὸν ἀριθμὸν τοῦτον τελειότατον νομίζεσθαι καὶ σύμφωνον εἶναι τῷ πλήθει τῶν μηνῶν τῶν τὸν ἐνιαυτὸν συμπληρούντων. (4) Ἄγαλμα δὲ θεῶν τὸ σύνολον οὐ κατεσκεύασε διὰ τὸ μὴ νομίζειν ἀνθρωπόμορφον εἶναι τὸν θεόν, ἀλλὰ τὸν περιέχοντα τὴν γῆν οὐρανὸν μόνον εἶναι θεὸν καὶ τῶν ὅλων κύριον. Τὰς δὲ θυσίας ἐξηλλαγμένας συνεστήσατο τῶν παρὰ τοῖς ἄλλοις ἔθνεσι καὶ τὰς κατὰ τὸν βίον ἀγωγάς· διὰ γὰρ τὴν ἰδίαν ξενηλασίαν ἀπάνθρωπόν τινα καὶ μισόξενον βίον εἰσηγήσατο. Ἐπιλέξας δὲ τῶν ἀνδρῶν τοὺς χαριεστάτους καὶ μάλιστα δυνησομένους τοῦ σύμπαντος ἔθνους προΐστασθαι, τούτους ἱερεῖς ἀπέδειξε· τὴν δὲ διατριβὴν ἔταξεν αὐτῶν γίνεσθαι περὶ τὸ ἱερὸν καὶ τὰς τοῦ θεοῦ τιμάς τε καὶ θυσίας. (5) Τοὺς αὐτοὺς δὲ καὶ δικαστὰς ἀπέδειξε τῶν μεγίστων κρίσεων, καὶ τὴν τῶν νόμων καὶ τῶν ἐθῶν φυλακὴν τούτοις ἐπέτρεψε· διὸ καὶ βασιλέα μὲν μηδέποτε τῶν Ἰουδαίων, τὴν δὲ τοῦ πλήθους προστασίαν δίδοσθαι διὰ παντὸς τῷ δοκοῦντι τῶν ἱερέων φρονήσει καὶ ἀρετῇ προέχειν. Τοῦτον δὲ προσαγορεύουσιν ἀρχιερέα, καὶ νομίζουσιν αὐτοῖς ἄγγελον γίνεσθαι τῶν τοῦ θεοῦ προσταγμάτων. (6) Τοῦτον δὲ κατὰ τὰς ἐκκλησίας καὶ τὰς ἄλλας συνόδους φησὶν ἐκφέρειν τὰ παραγγελλόμενα, καὶ πρὸς τοῦτο τὸ μέρος οὕτως εὐπιθεῖς γίνεσθαι τοὺς Ἰουδαίους, ὥστε παραχρῆμα πίπτοντας ἐπὶ τὴν γῆν προσκυνεῖν τὸν τούτοις ἑρμηνεύοντα ἀρχιερέα. Προσγέγραπται δὲ καὶ τοῖς νόμοις ἐπὶ τελευτῆς ὅτι Μωσῆς ἀκούσας τοῦ θεοῦ τάδε λέγει τοῖς Ἰουδαίοις. Ἐποιήσατο δ' ὁ νομοθέτης τῶν τε πολεμικῶν ἔργων πολλὴν πρόνοιαν καὶ τοὺς νέους ἠνάγκαζεν ἀσκεῖν ἀνδρείαν τε καὶ καρτερίαν καὶ τὸ σύνολον ὑπομονὴν πάσης κακοπαθείας. (7) Ἐποιεῖτο δὲ καὶ στρατείας εἰς τὰ πλησιόχωρα τῶν ἐθνῶν, καὶ πολλὴν κατακτησάμενος χώραν κατεκληρούχησε, τοῖς μὲν ἰδιώταις ἴσους ποιήσας κλήρους, τοῖς δ' ἱερεῦσι μείζονας, ἵνα λαμβάνοντες ἀξιολογωτέρας προσόδους ἀπερίσπαστοι συνεχῶς προσεδρεύωσι ταῖς τοῦ θεοῦ τιμαῖς. Οὐκ ἐξῆν δὲ τοῖς ἰδιώταις τοὺς ἰδίους κλήρους πωλεῖν, ὅπως μή τινες διὰ πλεονεξίαν ἀγοράζοντες τοὺς κλήρους ἐκθλίβωσι τοὺς ἀπορωτέρους καὶ κατασκευάζωσιν ὀλιγανδρίαν. (8) Τεκνοτροφεῖν τε ἠνάγκαζε τοὺς ἐπὶ τῆς χώρας· καὶ δι' ὀλίγης δαπάνης ἐκτρεφομένων τῶν βρεφῶν, ἀεὶ τὸ γένος τῶν

---

submoverent, futurum ut malis nunquam exonerarentur. Statim igitur expulsis aliarum nationum hominibus, pars nobilissima et strenuitate aliis præstans, eximiorum ducum auspiciis in Græciam, ut perhibent, et alia quædam loca, variis jactata casibus, pervenit, quibus Danaus et Cadmus præ ceteris clarissimi præerant. Pars autem populi maxima in terram, quæ Judæa nunc vocatur, ab Ægypto quidem haud longe dissitam, at omnino temporibus illis desertam, rejecta est. (3) Coloniæ hujus ductor erat Moses quidam, ut appellatur, sapientia et fortitudine maxime excellens. Is occupata regione quum urbes alias, tum quæ nunc clarissima est, Hierosolyma, ac templum ibi, quod in summa illis veneratione habetur, condidit. Tum numinis honores et cærimonias sacrorum docuit; etiam rempublicam legibus instruxit, atque in ordinem certum redegit. Multitudinem in duodecim tribus divisit, quod numerum hunc perfectissimum esse, ac mensibus, qui annum faciunt integrum, respondere existimaret. (4) At nullam omnino deorum imaginem statuámve fabricavit, quod in deum minime cadere formam humanam, sed cœlum hoc, quod terram circumquaque ambit, solum deum esse cunctaque in potestate habere judicaret. Sacrificiorum autem ritus vitæque conformandæ morem ita instituit, ut a ceterarum gentium institutis plurimum discreparet. Nam propter gentis suæ relegationem inhumanam quandam et inhospitalem vitæ rationem præcepit. Viros præterea gratiosissimos, et qui genti universæ præesse maxime valerent delegit, eosque sacerdotes creavit. His munus illud destinavit, ut perpetuo templum obeuntes dei cultibus et sacrificiis operarentur. (5) Eosdem maximarum quoque rerum disceptationi judices præfecit, legumque ac institutorum custodiam illorum fidei commisit. Quocirca nunquam Judæis regem fuisse aiunt, sed multitudinis gubernandæ curam et potestatem ei tradi perpetuo, qui inter sacerdotes prudentia et virtute præcellere videtur. Hunc sacerdotem principem summum pontificem appellant; hunc pro nuntio et interprete jussorum dei habent; (6) hunc in concionibus publicis aliisque congressibus mandata proferre, atque hac in parte tam morigeros esse Judæos perhibent, ut extemplo ad terram prostrati sacrorum antistitem, oracula dei sibi interpretantem, adorent. In fine autem legibus adscriptum est: MOSES AUDITOR DEI HÆC DICIT JUDÆIS. Ad hæc multum studii cum insigni prudentia in res bellicas posuit legislator, et juvenes ad tolerantiam et fortitudinem, ad constantiam denique in omnibus ærumnis exercendam adegit. (7) Quin etiam expeditiones in gentes finitimas suscepit, multosque terræ bello acquisitæ tractus hereditario suis jure possidendos attribuit, ita quidem, ut privatis æquales sortis partes faceret, sacerdotibus majores: ut ampliores percipientes reditus, dei cultibus assidue citra distractionem incumberent. Nec privatis sortis suæ patrimonium vendere licebat, ne aliqui, emtis per avaritiam fundis hereditariis,

Ἰουδαίων ὑπῆρχε πολυάνθρωπον. Καὶ τὰ περὶ τοὺς γάμους δὲ καὶ τὰς τῶν τελευτώντων ταφὰς πολὺ τὸ παρηλλαγμένον ἔχειν ἐποίησε νόμιμα πρὸς τὰ τῶν ἄλλων ἀνθρώπων. Κατὰ δὲ τὰς ὕστερον γενομένας ἐπικρατείας ἐκ τῆς τῶν ἀλλοφύλων ἐπιμιξίας ἐπί τε τῆς τῶν Περσῶν ἡγεμονίας καὶ τῶν ταύτην καταλυσάντων Μακεδόνων πολλὰ τῶν πατρίων τοῖς Ἰουδαίοις νομίμων ἐκινήθη. Περὶ μὲν τῶν Ἰουδαίων Ἑκαταῖος ὁ Μιλήσιος (deb. Ἀβδηρίτης) ταῦτα ἱστόρηκεν.

Hecatæum Milesium confundi cum Abderita vel ex iis quæ de Macedonum temporibus dicuntur, luce clarius est. V. Wesseling. ad h. l. Alium quendam Hecatæum Milesium, Abderitæ supparem intelligi voluit Zornius; quod jure respuerunt Wesselingius l. l. et Creuzerus De Hecat. Milesio p. 35. Cf. Heyne De fontt. Diodori p. LXXXIX, ed. Bip. — Ceterum fragmentum de Judæis in Ægyptiacis locum habuisse monui in introductione. Subjicimus fragmenta de Judæis, quæ e Pseudo-Hecatæo affert Josephus.

ΨΕΥΔΟΕΚΑΤΑΙΟΣ.

ΠΕΡΙ ΙΟΥΔΑΙΩΝ.

14.

Josephus C. Apion. I, 22 : Ἑκαταῖος δὲ ὁ Ἀβδηρίτης, ἀνὴρ φιλόσοφος ἅμα καὶ περὶ τὰς πράξεις ἱκανώτατος, Ἀλεξάνδρῳ τῷ βασιλεῖ συνακμάσας καὶ Πτολεμαίῳ τῷ Λάγου συγγενόμενος οὐ παρέργως, ἀλλὰ περὶ αὐτῶν Ἰουδαίων συγγέγραφε βιβλίον, ἐξ οὗ βούλομαι κεφαλαιωδῶς ἐπιδραμεῖν ἔνια τῶν εἰρημένων. Καὶ πρῶτον ἐπιδείξω τὸν χρόνον· μνημονεύει γὰρ τῆς Πτολεμαίου περὶ Γάζαν πρὸς Δημήτριον μάχης· αὕτη δὲ γέγονεν ἑνδεκάτῳ μὲν ἔτει τῆς Ἀλεξάνδρου τελευτῆς, ἐπὶ δὲ Ὀλυμπιάδος ἑβδόμης καὶ δεκάτης καὶ ἑκατοστῆς, ὡς ἱστορεῖ Κάστωρ. Προσθεὶς γὰρ ταύτην τὴν Ὀλυμπιάδα φησὶν, Ἐπὶ ταύτης Πτολεμαῖος ὁ Λάγου ἐνίκα κατὰ Γάζαν μάχῃ Δημήτριον τὸν Ἀντιγόνου, τὸν ἐπικληθέντα Πολιορκητήν. » Ἀλέξανδρον δὲ τεθνάναι πάντες ὁμολογοῦσιν ἐπὶ τῆς ἑκατοστῆς τεσσαρεσκαιδεκάτης Ὀλυμπιάδος. Δῆλον οὖν ὅτι καὶ κατ' ἐκεῖνον καὶ κατὰ Ἀλέξανδρον ἤκμαζεν ἡμῶν τὸ ἔθνος. Λέγει τοίνυν ὁ Ἑκαταῖος πάλιν τάδε, ὅτι « μετὰ τὴν ἐν Γάζῃ μάχην ὁ Πτολεμαῖος ἐγένετο τῶν περὶ Συρίαν τόπων ἐγκρατής· καὶ πολλοὶ τῶν ἀνθρώπων πυνθανόμενοι τὴν ἠπιότητα καὶ φιλανθρωπίαν τοῦ Πτολεμαίου, συναπαίρειν εἰς Αἴγυπτον αὐτῷ καὶ κοινωνεῖν τῶν πραγμάτων ἠβουλήθησαν. Ὧν εἷς ἦν, φησὶν, Ἐζεκίας ὁ ἀρχιερεὺς τῶν Ἰουδαίων, ἄνθρωπος τὴν μὲν ἡλικίαν ὡς ἑξήκοντα ἓξ ἐτῶν, τῷ δ' ἀξιώματι τῷ παρὰ τοῖς ὁμοέθνοις μέγας καὶ τὴν ψυχὴν οὐκ ἀνόητος, ἔτι δὲ καὶ λέγειν δυνατὸς καὶ [τοῖς περὶ] τῶν πραγμάτων, εἴπερ τις ἄλλος, ἔμπειρος· καίτοι, φησὶν, οἱ πάντες ἱερεῖς τῶν Ἰουδαίων, οἱ τὴν δεκάτην τῶν γινομένων λαμβάνοντες, καὶ τὰ κοινὰ διοικοῦντες, περὶ χιλίους μάλιστα καὶ πεντακοσίους εἰσίν. » Πάλιν δὲ τοῦ προειρημένου μνημονεύων ἀνδρὸς, « Οὗτος, φησὶν, ὁ ἄνθρωπος τετευχὼς τῆς τιμῆς ταύτης καὶ συνήθης ἡμῖν γενόμενος, παραλαβών τινας τῶν μεθ' ἑαυτοῦ, τὴν διαφορὰν ἀνέγνω πᾶσαν αὐτοῖς, εἶχε γὰρ τὴν κατοίκησιν αὐτῶν καὶ τὴν πολιτείαν γεγραμμένην. » Εἶτα Ἑκαταῖος δηλοῖ πάλιν

---

eliderent pauperiores, gentemque redigerent ad paucitatem. (8) Liberis insuper educandis ut operam darent, regionis inhabitatores coegit : quumque exiguo sumptu infantes alantur, semper Judæorum natio multitudine hominum viguit. Quod ad matrimonia et mortuorum funerationes attinet, ut suæ a ceterorum hominum legibus differrent plurimum, fecit. Ceterum sub imperiis posteriori ætate exortis, in Persarum dominatu, et qui hunc everterunt, Macedonum, ex commixtione cum externis gentibus multa de legum avitarum institutis apud Judæos mutata exoleverunt. De Judæis hæc narravit Hecatæus *Abderita*.

PSEUDO-HECATÆUS.

DE JUDÆIS.

14.

Hecatæus Abderita, vir non modo philosophus, sed etiam rebus gerendis aptissimus, Alexandri regis æqualis et cum Ptolemæo Lagi conversatus, non obiter (sc. Judæorum meminit), sed de Judæis ipsis librum conscripsit, ex quo volo summatim quædam eorum quæ ab eo sunt dicta percurrere : primumque tempus ostendam. Meminit enim prælii quo circa Gazam conflixit Ptolemæus cum Demetrio : illud vero contigit undecimo quidem anno a morte Alexandri, Olympiade vero CXVII, sicuti narrat Castor. Apposita enim hac Olympiade, dicit : « Sub hac Ptolemæus Lagi circa Gazam prælio superavit Demetrium Antigoni, qui vocabatur Poliorcetes. » Alexandrum vero agnoscunt universi Olympiade CXIV e vita excessisse. Palam ergo est quod et illius tempore et sub Alexandro gens nostra floruerit. Igitur Hecatæus porro hæc dicit : « Ptolemæum post prælium in Gazam locorum in Syria factum esse compotem; magnumque hominum numerum, cognita Ptolemæi mansuetudine et clementia, cum eo profectum esse in Ægyptum, eo animo, ut rerum gerendarum participes fierent. Quorum unus, inquit, erat Ezecias pontifex Judæorum : homo ætate quidem quasi annorum LXVI, dignitate vero apud populares suos magnus, et animi sapientia non mediocri, et dicendi facultate pollens, et, si quis alius, rerum peritus : quanquam, ut ait, omnes Judæorum sacerdotes, qui decimas in lucem editorum accipiunt, et res in communi positas administrant, mille omnes et quingenti sint. » Rursus autem viri jam laudati mentionem faciens, « Hic, inquit, homo hunc honorem assequutus, factusque nobis familiaris, ubi quosdam e suis assumpserat, differentiam omnem illis exposuit, et habitationem eorum et civilem rationem, quam scriptam habebat, pariter indicavit. » Deinde palam facit Hecatæus, erga leges qualiter nosmet habemus,

πῶς ἔχομεν πρὸς τοὺς νόμους, ὅτι πάντα πάσχειν ὑπὲρ τοῦ μὴ παραβῆναι τούτους προαιρούμεθα, καλὸν εἶναι νομίζοντες. « Τοιγαροῦν, φησὶ, καὶ κακῶς ἀκούοντες ὑπὸ τῶν ἀστυγειτόνων καὶ τῶν εἰσαφικνουμένων πάντων, καὶ προπηλακιζόμενοι πολλάκις ὑπὸ τῶν Περσικῶν βασιλέων καὶ σατραπῶν, οὐ δύνανται μεταπεισθῆναι τῇ διανοίᾳ, ἀλλὰ γεγυμνωμένως περὶ τούτων καὶ αἰκίαις καὶ θανάτοις δεινοτάτοις μάλιστα πάντων ἀπαντῶσι μὴ ἀρνούμενοι τὰ πατρῷα. » Παρέχεται δὲ καὶ τεκμήρια τῆς ἰσχυρογνωμοσύνης τῆς περὶ τῶν νόμων οὐκ ὀλίγα. Φησὶ γὰρ, « Ἀλεξάνδρου ποτὲ ἐν Βαβυλῶνι γενομένου καὶ προελομένου τὸ τοῦ Βήλου πεπτωκὸς ἱερὸν ἀνακαθᾶραι, καὶ πᾶσιν αὐτοῦ τοῖς στρατιώταις ὁμοίως φέρειν τὸν χοῦν προστάξαντος, μόνους τοὺς Ἰουδαίους οὐ προσσχεῖν, ἀλλὰ καὶ πολλὰς ὑπομεῖναι πληγὰς καὶ ζημίας ἀποτῖσαι μεγάλας, ἕως αὐτοῖς συγγνόντα τὸν βασιλέα δοῦναι τὴν ἄδειαν. ** « Τῶν γε μὴν εἰς τὴν χώραν, φησὶ, πρὸς αὐτοὺς ἀφικνουμένων καὶ νεὼς καὶ βωμοὺς κατασκευασάντων, ἅπαντα ταῦτα κατέσκαπτον, καὶ τῶν μὲν ζημίαν τοῖς σατράπαις ἐξέτινον, περὶ τινῶν δὲ καὶ συγγνώμης μετελάμβανον. » Καὶ προσεπιτίθησιν ὅτι δίκαιον ἐπὶ τούτοις αὐτούς ἐστι θαυμάζειν. Λέγει δὲ καὶ περὶ τοῦ πολυανθρωπότατον γεγονέναι ἡμῶν τὸ ἔθνος· « Πολλὰς μὲν γὰρ ἡμῶν, φησὶν, ἀνασπάστους εἰς Βαβυλῶνα Πέρσαι πρότερον αὐτῶν ἐποίησαν μυριάδας, οὐκ ὀλίγαι δὲ καὶ μετὰ τὸν Ἀλεξάνδρου θάνατον εἰς Αἴγυπτον καὶ Φοινίκην μετέστησαν, διὰ τὴν ἐν Συρίᾳ στάσιν. » Ὁ δὲ αὐτὸς οὗτος ἀνὴρ καὶ τὸ μέγεθος τῆς χώρας, ἣν κατοικοῦμεν, καὶ τὸ κάλλος ἱστόρηκε. « Τριακοσίας γὰρ μυριάδας ἀρουρῶν σχεδὸν τῆς ἀρίστης καὶ παμφορωτάτης χώρας νέμονται, φησίν· ἡ γὰρ Ἰουδαία τοσαύτη πλάτος ἐστίν. » Ἀλλὰ μὴν ὅτι καὶ τὴν πόλιν αὐτὴν τὰ Ἱεροσόλυμα καλλίστην τε καὶ μεγίστην ἐκ παλαιοτάτου κατοικοῦμεν, καὶ περὶ πλήθους ἀνδρῶν, καὶ περὶ τῆς τοῦ νεὼ κατασκευῆς, οὕτως αὐτὸς διηγεῖται· « Ἔστι γὰρ τῶν Ἰουδαίων τὰ μὲν πολλὰ ὀχυρώματα κατὰ τὴν χώραν καὶ κῶμαι· μία δὲ πόλις ὀχυρὰ πεντήκοντα μάλιστα σταδίων τὴν περίμετρον, ἣν οἰκοῦσι μὲν ἀνθρώπων περὶ δώδεκα μυριάδες. Καλοῦσι δ' αὐτὴν Ἱεροσόλυμα. Ἐνταῦθα δ' ἐστὶ κατὰ μέσον μάλιστα τῆς πόλεως περίβολος λίθινος, μῆκος ὡς πεντάπλεθρος, εὖρος δὲ πηχῶν ἑκατὸν, ἔχων διπλᾶς πύλας. Ἐν ᾧ βωμός ἐστι τετράγωνος, οὐκ ἐκ τμητῶν, ἀλλ' ἐκ συλλέκτων ἀργῶν λίθων οὕτω συγκείμενος· πλευρὰν μὲν ἑκάστην εἴκοσι πηχῶν, ὕψος δὲ δεκάπηχυ. Καὶ παρ' αὐτὸν οἴκημα μέγα, οὗ βωμός ἐστι καὶ λυχνίον, ἀμφότερα χρυσᾶ, δύο τάλαντα τὴν ὁλκήν. Ἐπὶ τούτων φῶς ἐστιν ἀναπόσβεστον καὶ τὰς νύκτας καὶ τὰς ἡμέρας. Ἄγαλμα δὲ οὐκ ἔστιν οὐδὲ ἀνάθημα τὸ παράπαν· οὐδὲ φύτευμα παντελῶς οὐδὲν, οἷον ἀλσῶδες ἤ τι τοιοῦτον. Διατρίβουσι δ' ἐν αὐτῷ καὶ τὰς νύκτας καὶ τὰς ἡμέρας ἱερεῖς, ἁγνείας τινὰς ἁγνεύοντες, καὶ τὸ παράπαν οἶνον οὐ πίνοντες ἐν τῷ ἱερῷ. » Ἔτι γε μὴν ὅτι καὶ Ἀλεξάνδρῳ τῷ βασιλεῖ συνεστρατεύομεν καὶ μετὰ ταῦτα τοῖς διαδόχοις αὐτοῦ μεμαρτύρηκεν· οἷς δ' αὐτὸς παρατυχεῖν ὑπ' ἀνδρὸς Ἰουδαίου κατὰ τὴν στρατείαν γενομένοις, τοῦτο παραθήσομαι. Λέγει δ' οὕτως· « Ἐμοῦ γοῦν ἐπὶ τὴν Ἐρυθρὰν θάλασσαν βαδίζοντος συνηκολούθει τις μετὰ τῶν ἄλλων τῶν παραπεμπόντων ἡμᾶς ἱππέων Ἰουδαίων, ὄνομα Μοσόλλαμος,

---

quodque omnia pati malimus, quam contra illas facere, hoc pulchrum esse persuasum habentes. « Quare, inquit, quanquam et maledictis impeti solent a vicinis advenisque, et injuriose sæpe tractati sunt a Persicis regibus et satrapis, non possunt a sententia deduci, sed pro ea maxime omnium forti animo omne genus cruciatus sævissimasque mortes subeunt, nec adduci possunt ut patria instituta abdicent. » Quin et indicia perhibet non exigua animi eorum propositi tenacis et validi circa legem observandam. Dicit enim, quum aliquando apud Babylonem esset Alexander, et vellet is Beli templum quod conciderat reponere, et omnibus militibus præcepisset humum aggerere, solos Judæos non opitulatos, imo et verbera et mulctas graves pertulisse, donec rex eis ignoscens laboris talis gratiam fecit. ** « Qui quum in regionem, inquit, ad suos reversi fuissent, et templa et altaria exstruxissent, ista omnia diruerunt : et pro aliis quidem mulctam satrapis exsolvere, pro aliis vero veniam consequuti sunt. » Et præterea adjicit quod merito ob hæc admirationem habent. Atque insuper memorat gentem nostram populo maxime abundasse : « Nam multas nostrorum, inquit, myriadas e sedibus suis primum abduxerunt Persæ : non paucæ autem etiam post obitum Alexandri in Ægyptum et Phœnicen migrarunt, propter seditionem in Syria factam. » Hic idem vir et magnitudinem regionis quam incolimus et pulchritudinem prodidit. « Ad tricies, inquit, centena millia arurarum habitant optimi fere et feracissimi soli. Judæa namque hujus est amplitudinis. » Imo quod et urbem, Hierosolyma, pulcherrimam et maximam ex multis retro seculis incolimus, et de virorum multitudine, et de templi exstructione, idem ipse sic refert : « Sunt enim Judæorum castella multa et vici per regionem sparsi : una autem urbs munita; ambitu ferme quinquaginta stadiorum, quam incolunt quidem hominum circiter centum et viginti millia. Istam vero Hierosolyma vocant. Illic autem in meditullio scilicet urbis septum est lapideum, quinque fere jugerum longitudinis, latitudinis cubitorum centum, portas habens geminas. Ibidem altare quadratum, ex impolitorum et rudium lapidum coagmentatione conflatum; cujus latera singula viginti cubitorum sunt, altitudo vero decem. Et præter hoc altare, ingens tabernaculum est, quo et ara et lychnuchus continentur, utrumque aureum, pondus talentorum duûm. His impositum est lumen inexstinctum, quod dies noctesque continenter ardet. Nullum ibi simulacrum, donarium omnino nullum, adeoque nec planta nec lucus, nec aliud quicquam ejusmodi. Sacerdotes in eo, noctu pariter atque interdiu assidui, certis quibusdam expiationibus dant operam, quos in templo vinum omnino gustare nefas. » Sed præterea testis est militasse nos cum Alexandro, et postea ejus cum successoribus. Subjiciam illa, quibus ipse se interfuisse dicit, ab homine quodam Judæo gesta in

ἄνθρωπος ἱκανὸς κατὰ ψυχήν, εὔρωστος, καὶ τοξότης ὑπὸ δὴ πάντων ὁμολογούμενος καὶ τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων ἄριστος. Οὗτος οὖν ὁ ἄνθρωπος, διαβαδιζόντων πολλῶν κατὰ τὴν ὁδὸν, καὶ μάντεώς τινος ὀρνιθευομένου καὶ πάντας ἐπισχεῖν ἀξιοῦντος, ἠρώτησε διὰ τί προσμένουσι. Δείξαντος δὲ τοῦ μάντεως αὐτῷ τὸν ὄρνιθα καὶ φήσαντος, ἐὰν μὲν αὐτοῦ μένῃ, προσμένειν συμφέρειν πᾶσιν, ἐὰν δ' ἀναστὰς εἰς τοὔμπροσθεν πέτηται, προάγειν, ἐὰν δὲ εἰς τοὔπισθεν, ἀναχωρεῖν αὖθις, σιωπήσας καὶ παρελκύσας τὸ τόξον ἔβαλε, καὶ τὸν ὄρνιθα πατάξας ἀπέκτεινεν. Ἀγανακτούντων δὲ τοῦ μάντεως καί τινων ἄλλων καὶ καταρωμένων αὐτῷ, Τί μαίνεσθε, ἔφη, κακοδαιμονέστατον ὄρνιθα λαβόντες εἰς τὰς χεῖρας; πῶς γὰρ οὗτος τὴν αὐτοῦ σωτηρίαν οὐ προϊδὼν, περὶ τῆς ἡμετέρας πορείας ἡμῖν ἄν τι ὑγιὲς ἀπήγγελλεν; εἰ γὰρ ἠδύνατο προγινώσκειν τὸ μέλλον, εἰς τὸν τόπον τοῦτον οὐκ ἂν ἦλθε, φοβούμενος μὴ τοξεύσας αὐτὸν ἀποκτείνῃ Μοσόλλαμος Ἰουδαῖος. » Ἀλλὰ τῶν μὲν Ἑκαταίου μαρτυριῶν ἅλις· τοῖς γὰρ βουλομένοις πλείω μαθεῖν τῷ βιβλίῳ ῥᾴδιόν ἐστιν ἐντυχεῖν. Plurima horum excerpsit Eusebius P. E. p. 408 sq.

15.

Josephus C. Apion. II, 4 : Οὐ γὰρ ἀπορίᾳ γε τῶν οἰκησάντων τὴν μετὰ σπουδῆς ὑπ' αὐτοῦ πόλιν κτιζομένην Ἀλέξανδρος τῶν ἡμετέρων τινὰς ἐκεῖ συνήθροισεν· ἀλλὰ πάντας δοκιμάζων ἐπιμελῶς, ἀρετῆς καὶ πίστεως τοῦτο τοῖς ἡμετέροις τὸ γέρας ἔδωκεν. Ἐτίμα γὰρ ἡμῶν τὸ ἔθνος, ὥς καί φησιν Ἑκαταῖος περὶ ἡμῶν, ὅτι διὰ τὴν ἐπιείκειαν καὶ πίστιν, ἥν αὐτῷ παρέσχον Ἰουδαῖοι, τὴν Σαμαρεῖτιν χώραν προσέθηκεν ἔχειν αὐτοῖς ἀφορολόγητον.

16.

Josephus Ant. Jud. XII, 2, 3. Demetrius Phalereus in epistola ad Ptolemæum Philadelphum de Judæorum libris describendis : Τὴν νομοθεσίαν (sc. τῶν Ἰουδαίων) φιλοσοφωτέραν καὶ ἀκέραιον εἶναι συμβέβηκεν, ὡς ἂν οὖσαν θεοῦ. Διὸ καὶ τοὺς ποιητὰς καὶ συγγραφεῖς τῶν ἱστοριῶν οὐκ ἐπιμνησθῆναί φησιν Ἑκαταῖος ὁ Ἀβδηρίτης, οὐδὲ τῶν κατ' αὐτὴν πολιτευσαμένων ἀνδρῶν, ὡς ἁγνῆς οὔσης, καὶ μὴ δέον αὐτὴν βεβήλοις στόμασι διασαφεῖσθαι. Hæc Josephus ex Aristea in Historia LXXII interpretum, ubi ita : Διὸ πόρρω γεγόνασιν οἵ τε συγγραφεῖς καὶ ποιηταὶ καὶ τὸ τῶν ἱστορικῶν πλῆθος τῆς ἐπιμνήσεως τῶν προειρημένων βιβλίων καὶ τῶν κατ' αὐτὰ πεπολιτευμένων ἀνδρῶν, διὰ τὸ ἁγνήν τινα καὶ σεμνὴν εἶναι τὴν ἐν τούτοις θεωρίαν, ὥς φησιν Ἑκαταῖος ὁ Ἀβδηρίτης. Ex Josepho sua habet Eusebius P. E. p. 351, C.

17.

(ΠΕΡΙ ΑΒΡΑΜΟΥ.)

Josephus Ant. Jud. I, 7, 2 : Μνημονεύει δὲ τοῦ πατρὸς ἡμῶν Ἀβράμου Βηρωσσός... Ἑκαταῖος δὲ καὶ τοῦ μνησθῆναι πλέον τι πεποίηκεν· βιβλίον γὰρ περὶ αὐτοῦ συνταξάμενος κατέλιπε. Exscripsit Eusebius P. E. p. 417.

---

expeditione. Ita enim narrat : « Quum proficiscerer ad mare Rubrum, una cum aliis equitibus Judæis, quos itineris duces habebamus, unus eorum aliquis comitabatur, nomine Mosollamus, vir quum animi magnitudine tum corporis robore non vulgari, idemque sagittarius omnium tam Græcorum quam barbarorum confessione peritissimus. Is igitur homo, quum universa multitudo iter illud agerent, et vates augurium captans peteret ut cuncti gressum inhiberent, interrogavit cur subsisterent. Quum autem augur ei avem ostendisset, simulque dixisset, si quidem ibi resideret avis, omnibus ut eo in loco manerent expedire; sin protinus volando contenderet, porro pergerent ipsi quoque; sin denique retro, retro similiter ipsi redirent: Judæus nihil contra, sed intento arcu jaculatur, avemque confixam peremit. Hic augure aliisque nonnullis graviter indignantibus, ipsique diras imprecantibus, Quid, inquit, usque adeo furitis, infaustissimam avem in manus sumentes? quomodo ista, quæ vitæ ipsa suæ providere non potuit, sani quicquam de suscepto a nobis itinere prænunciare valuit? Enimvero si prænosse futurum potuisset, nunquam hunc in locum venisset, præ metu ne Mosollami Judæi sagittis confixa moreretur. » Verum testimoniorum ex Hecatæo satis : nam quibus in animo est plura cognoscere, facile est librum ipsum adire.

15.

Neque Alexander propter inopiam habitatorum civitatis Alexandriæ, quam studiose ædificabat, nostrorum aliquot illic congregavit; sed omnes probitatis ergo et fide probe perspectos et exploratos habens, hoc præmium nostris tribuit. Nostram enim gentem honorabat, ut etiam de nobis dicit Hecatæus, quod propter probitatem atque fidem, quam ei præbuere Judæi, regionem Samaritidem ab omni tributo liberam ab iis teneri voluerit.

16.

Ita comparata est Judæorum legislatio, ut altioris cujusdam sapientiæ et sinceræ integritatis plena sit, utpote a deo profecta. Quare nec poetæ nec qui historias conscripsere, ejus meminerunt, quemadmodum Hecatæus Abderita testatur, adeoque nec hominum illorum, qui ex ejus præceptis vitam instituerunt, quod sancta esset et profano ore exponi non oporteret.

Hinc quum alii scriptores et poetæ, tum historici omnes abstinuerunt a mentione et librorum istorum et virorum, qui secundum leges has administrant rempublicam : quia, ut Hecatæus Abderita asserit, plane sanctam et venerandam contineant in se sententiam et contemplationem.

17.

Berosus Abrami parentis nostri meminit. Hecatæus vero ejus non obiter tantum meminit, sed librum de eo conscriptum reliquit.

18.

Clem. Alex. Strom. V, c. 14, p. 257, 2 : Ὁ μὲν Σοφοκλῆς, ὥς φησιν Ἑκαταῖος, ὁ τὰς ἱστορίας συνταξάμενος ἐν τῷ Κατ' Ἄβραμον καὶ τοὺς Αἰγυπτίους, ἄντικρυς ἐπὶ τῆς σκηνῆς ἐκβοᾷ·

Εἷς ταῖς ἀληθείαισιν, εἷς ἐστὶν θεὸς,
ὃς οὐρανόν τ' ἔτευξε καὶ γαῖαν μακρὰν,
πόντου τε χαρπὸν οἶδμα κἀνέμων βίαν (βίας Eus.).
Θνητοὶ δὲ πολλοὶ καρδίαν πλανώμενοι,
ἱδρυσάμεσθα πημάτων παραψυχὴν,
θεῶν ἀγάλματ' ἐκ λίθων ἢ χαλκέων
ἢ χρυσοτεύκτων ἢ 'λεφαντίνων τύπους·
θυσίας τε τούτοις καὶ καλὰς πανηγύρεις
στέφοντες, οὕτως εὐσεβεῖν νομίζομεν.

Eadem Eusebius P. E. p 680 D, et non nominato Hecatæo Justin. Martyr. Cohort. c. 18, Theodoret. De affect. Gr. tom. IV, p. 896. Versus spurios esse primus vidit Bentley. Ad Millium p. 11. Cf. Bœckh. Princip.trag. p. 148.

SEDIS INCERTÆ.

19.

Diogen. L. I, 9 : Ἑκαταῖος δὲ καὶ γενητοὺς τοὺς θεοὺς εἶναι κατ' αὐτούς (sc. κατὰ τοὺς μάγους). Cf. Theopomp. fr. 71.

20.

Clem. Alex. Strom. II, 21, p. 179, 31 : Ἀλλὰ καὶ οἱ Ἀβδηρῖται τέλος ὑπάρχειν διδάσκουσιν, Δημόκριτος μὲν... τὴν εὐθυμίαν.... Ἑκαταῖος δὲ τὴν αὐτάρκειαν.

21.

Plutarchus Qu. Conviv. IV, 3, p. 666, E, quærit cur in nuptiis quam plurimi ad cœnam vocentur. Ὁ γὰρ εἰπὼν περὶ τῆς αἰτίας αὐτῆς τῶν παλαιῶν φιλοσόφων, οὐδὲν, ἐμοὶ γοῦν κριτῇ, πιθανὸν εἴρηκεν, Ἑκαταῖος ὁ Ἀβδηρίτης. Λέγει δὲ τοὺς ἀγομένους γυναῖκας πολλοὺς παρακαλεῖν ἐπὶ τὴν ἑστίασιν, ἵνα πολλοὶ συνειδῶσι καὶ μαρτυρῶσιν ἐλευθέροις οὖσι, καὶ παρ' ἐλευθέρων γαμοῦσι.

AMOMETUS.

Amometus Callimacho antiquior (fr. 2), sub Ptolemæo I vel II vixerit. Libro De gente Attacorûm Hecatæi et Jambuli simillimus, opere geographico rerum mirabilium studiosus.

1.

ΠΕΡΙ ΑΤΤΑΚΟΡΩΝ.

Plinius H. N. VI, 20 : (In Serum regione est) *sinus et gens hominum Attacorûm, apricis ab omni noxio afflatu seclusa collibus; eadem qua Hyperborei degunt temperie. De iis privatim condidit volumen Amometus, sicut Hecatæus de Hyperboreis. Attacori*, Ptolemæo I, 12 Ὀττοροχόρραι ad cognominem montem (*Himelajam*) habitantes, Indice audiunt *Uttaracuri*, de quorum vita beata in libris Indicis exponitur (vid. not. p. 400).

2.

ΕΚ ΜΕΜΦΕΩΣ ΑΝΑΠΛΟΥΣ.

Antigon. Mirab. c. 164 (149 Westerm.) : Κατὰ δὲ τὴν Ἀραβίαν ἐν πόλει Λευκοθέᾳ Ἀμώμητόν φησι (sc. Καλλίμαχος) γράφειν, τὸν πραγματευθέντα τὸν Ἐκ Μέμφεως ἀνάπλουν, εἶς τὴν καλουμένην Ἴσιδος κρήνην ἄν τις οἴνου ἐπιχέῃ κοτύλην, διότι γίγνεται τὸ ποτὸν εὔκρατον. Eadem Sotion p. 185 West.

3.

Ælian. H. A. XVII, 6 : Ἀμώμητος δέ φησι ἐν τῇ Λιβύῃ πόλιν εἶναί τινα, ἐν ᾗ τοὺς ἱερέας ἔκ τινος λίμνης ἐπαοιδαῖς καταγοητεύοντας εὖ μάλα ἑλκτικαῖς ἐξαγαγεῖν κροκοδείλους πηχῶν ἑκκαίδεκα.

(4.)

Schol. Apollon. Rh. III, 1179 : Ἱππίας δὲ ὁ Δήλιος ἐν Ἐθνῶν ὀνομασίαις φησὶν ἔθνος τι καλεῖσθαι Σπαρτοὺς, καὶ ὁμοίως Ἀτρόμητος (Ἀμώμητος Westerm. ad Voss. p. 383).

18.

Sophocles, ut ait Hecatæus qui historias composuit, ubi agit de Abrahamo et de Ægyptiis, in scena aperte exclamat :

Unus profecto et unicus tantum deus,
qui cœlum et amplum condidit terræ sinum,
et sæva ponti terga vimque fluminum.
At nos homulli, corde cæco devii,
misera malorum invenimus solatia,
divûm figuras, saxeas aut æreas,
nisi aureas malimus aut eburneas.
His immolamus, his vocemus et dies
sacros : et hoc est quod pium esse dicimus.

19.

Hecatæus deos quoque e Magorum sententia genitos esse dicit.

20.

Abderitæ quoque docent summum esse bonum, Democritus tranquillitatem, Hecatæus sufficientiam.

21.

De ipsa causa qui disseruit antiquus philosophus, Hecatæus Abderita, meo certe judicio nihil probabile dixit : scilicet sponsum ad nuptias multos vocare, ut multos habeat conscios atque testes liberum se liberam duxisse.

AMOMETI E MEMPHIDE NAVIGATIO.

2. E regione Arabiæ in Leucothea urbe Amometus, qui Navigationem e Memphide (in interiora Ægypti) institutam scripsit, Isidis esse fontem ait, in quem si quis vini cotylam infundat, aquam ejus potum bene mixtum præbere.

3.

Amometus dicit Libyæ urbem esse, in qua sacerdotes incantationibus, quibus magna vis attrahendi est, crocodilos sedecim cubitorum e lacu quodam allicere.

4.

Hippias Delius in Gentium nominibus et similiter Atrometus (*Amometus*) gentem quandam Spartos dici narrant.

MEGASTHENES.

Justinus XV, 4, de Seleuco Nicatore : *Multa in oriente post divisionem inter socios regni Macedonici bella gessit. Principio Babyloniam cepit : inde auctis ex victoria viribus, Bactrianos expugnavit. Transitum deinde in Indiam fecit, quæ post mortem Alexandri, veluti cervicibus jugo servitutis excusso, præfectos ejus occiderat. Auctor libertatis Sandrocottus fuerat : sed titulum libertatis post victoriam in servitutem verterat. Siquidem occupato regno, populum, quem ab externa dominatione vindicaverat, ipse servitio premebat... Sic acquisito regno, Sandrocottus ea tempestate, qua Seleucus futuræ magnitudinis fundamenta jaciebat, Indiam possidebat, cum quo facta pactione Seleucus, compositisque in Oriente rebus, in bellum Antigoni descendit* (302 a. C.).

Præter Justinum belli, quod Seleucus contra Sandrocottam sive *Chandragyptam* (v. not. ad fr. 2), Prasiorum sive, ut Indice loquar, Prâkjarum (*) regem, gessit, mentionem faciunt Appianus Syr. c. 55 : (Σέλευκος) τὸν Ἰνδὸν περάσας ἐπολέμησεν Σανδρακόττῳ βασιλεῖ τῶν περὶ αὐτὸν Ἰνδῶν, μέχρι φιλίαν αὐτῷ καὶ κῆδος συνέθετο· Strabo XV, p. 724 : Ἔδωκε δὲ Σέλευκος ὁ Νικάτωρ Σανδροκόττῳ (sc. magnam Arianæ partem. Cf. p. 689 : Ὕστερον καὶ τῆς Ἀριανῆς πολλὴν ἔσχον οἱ Ἰνδοί, λαβόντες παρὰ τῶν Μακεδόνων), συνθέμενος ἐπιγαμίαν καὶ ἀντιλαβὼν ἐλέφαντας πεντακοσίους (quorum Sandrocottus habebat 9000. Plinius VI, 22, 5); Plutarch. Alex. 62 : Ἀνδρόκοττος γὰρ ὕστερον οὐ πολλῷ βασιλεύσας Σελεύκῳ πεντακοσίους ἐλέφαντας ἐδωρήσατο, καὶ στρατοῦ μυριάσιν ἑξήκοντα τὴν Ἰνδικὴν ἐπῆλθεν ἅπασαν καταστρεφόμενος. Alia quædam dona satis mira, quæ ad Seleucum Sandrocottus miserit, commemorat Phylarchus (fr. 38) ap. Athenæum p. 18 D.

Diodorus libro XX Seleuci res exponens de bello Indico ne verbo quidem monuit. Mirum autem foret tam obiter a reliquis rerum scriptoribus expeditionem istam attingi, si verum esset, quod inter recentiores multi contenderunt, scilicet Seleucum bello hoc in mediam Indiam usque ad Gangem et Palibothra urbem, quid, usque ad ostia Gangis esse progressum, ideoque longe post se reliquisse Alexandrum. At vanam hancce opinionem jam refellerunt Lassenius De pentapoli Ind. 61, A. G. Schlegel. in *Berliner Calender* 1829, p. 31 (quamquam contradicente Benfey. in *Ersch. u. Gruber. Encycl.* v. *Indien* p. 67), et nuperrime Schwanbeckius in libro bonæ frugis pleno, qui inscribitur *Megasthenis Indica* (Bonn. 1846). Ac primum quidem Schwanbeckius p. 13 monet de loco Justini I, 2, 10, ubi præter Semiramidem et Alexandrum Indiam nemo intrasse dicitur; unde appareat Seleuci expeditionem tam levem a Trogo existimatam esse, ut ne Alexandri quidem bello Indico par sit (*). Porro Arrianum ait, si longinquam istam Seleuci expeditionem compertam habuisset, haud dubie aliter locuturum fuisse in Indicis suis (c. 5, 4), ubi Megasthenem ait non multum Indiæ peragrasse πλήν γε ὅτι πλεῦνα ἢ οἱ ξὺν Ἀλεξάνδρῳ τῷ Φιλίππου ἐπελθόντες. Quo loco multo aptius et facilius cum Seleuco Megasthenem auctor comparavisset (**). Mitto alia levioris momenti indicia, neque denuo h. l. exponere juvat, quibusnam de causis per se improbabile prorsus sit, usque ad Gangeticas regiones arma a Seleuco prolata esse.

(*) Proxime ad *Prakjæ* (i. e. *orientales*) nomen indicum accedit adjectivum Πραξιακός ap. Ælian. H. An. XVIII, 39 (Megasthen. fr. 11 init). Nomen substantivum foret Πράξιοι, idque Schwanbeckius (Megasthenis Indica p. 12) probabiliter censet restituendum esse ap. Stephanum Byz., ubi codices inter voces Πράξιλος et Πρᾶς mediam exhibent vocem Πράσιοι. Ceterum Πράσιοι dicuntur a Strabone, Arriano, Plinio; Πραίσιοι ap. Plutarch. Alex. c. 62 et Ælianum sæpius; Πραύσιοι a Nicolao Dam. ap. Stob. Floril. 37, 38; Βρείσιοι et Βραίσιοι libri mss. ap. Diodor. XVII, 93; *Pharrasii* ap. Curt. IX, 2, 3; *Præsidæ* ap. Justin. XII, 8. 9.

(*) Præterea Schwanbeckius p. 14 attendi jubet ad verba Appiani l. l., ubi quum Sandracottus parum accurate dicatur βασιλεὺς τῶν περὶ τὸν Ἰνδὸν Ἰνδῶν, eo ipso significari videri bellum in finibus Indiæ gestum fuisse. Hoc nihili est. Nam Appianus habet : τῶν περὶ αὐτὸν Ἰνδῶν, uti ipse etiam Schwanbeckius scripsit p. 13.

Arrianus Ind. 5, 4 : Οὗτος ὦν ὁ Μεγασθένης λέγει, οὔτε Ἰνδοὺς ἐπιστρατεῦσαι οὐδαμοῖσιν ἀνθρώποισιν, οὔτε Ἰνδοῖσιν ἄλλους ἀνθρώπους· (5) ἀλλὰ Σέσωστριν μὲν τὸν Αἰγύπτιον, τῆς Ἀσίης καταστρεψάμενον τὴν πολλὴν, ἔστε ἐπὶ τὴν Εὐρώπην σὺν στρατιῇ ἐλάσαντα ὀπίσω ἀπονοστῆσαι· (6) Ἰνδάθυρσιν δὲ τὸν Σκύθεα ἐκ Σκυθίης ὁρμηθέντα πολλὰ μὲν τῆς Ἀσίης ἔθνεα καταστρέψασθαι, ἐπελθεῖν δὲ καὶ τὴν Αἰγυπτίων γῆν κρατέοντα· (7) Σεμίραμιν δὲ τὴν Ἀσσυρίην ἐπιχειρέειν, μὲν στέλλεσθαι εἰς Ἰνδοὺς, ἀποθανεῖν δὲ πρὶν τέλος ἐπιθεῖναι τοῖσι βουλεύμασιν· ἀλλὰ Ἀλέξανδρον γὰρ στρατεῦσαι ἐπὶ Ἰνδοὺς μοῦνον. (8) Καὶ πρὸ Ἀλεξάνδρου Διονύσου μὲν πέρι πολλὸς λόγος κατέχει, ὡς καὶ τούτου στρατεύσαντος ἐς Ἰνδοὺς, καὶ καταστρεψαμένου Ἰνδούς· Ἡρακλέος δὲ πέρι οὐ πολλός. (9) Διονύσου μέν γε καὶ Νύσσα πόλις μνῆμα οὐ φαῦλον τῆς στρατηλασίης καὶ ὁ Μηρὸς τὸ ὄρος, καὶ ὁ κισσὸς ὅτι ἐν τῷ ὄρεϊ τούτῳ φύεται· καὶ αὐτοὶ οἱ Ἰνδοὶ ὑπὸ τυμπάνων τε καὶ κυμβάλων στελλόμενοι ἐς τὰς μάχας· καὶ ἐσθὴς αὐτοῖσι κατάστικτος ἐοῦσα, καθάπερ τοῦ Διονύσου τοῖσι βάκχοισιν· (10) Ἡρακλέος δὲ οὐ πολλὰ ὑπομνήματα. Ἀλλὰ τὴν Ἄορνον γὰρ πέτρην, ἥντινα Ἀλέξανδρος βίῃ ἐχειρώσατο, ὅτι Ἡρακλέης οὐ δυνατὸς ἐγένετο ἐξελεῖν,

---

dit, cui nihil innatet; quamquam id non credat Democritus, qui bonam partem Asiæ peragraverit; sed Aristoteles quoque non credit.

E LIBRO SECUNDO.

20.

Quænam nobis de rebus Indicis fides esse possit ex tali Cyri vel Semiramidis expeditione? Patrocinatur nostro sermoni quodammodo etiam Megasthenes fidem jubens derogare antiquis de India narrationibus. Neque enim ab Indis foras missum exercitum unquam, neque extrinsecus ingruisse et obtinuisse, excepta Herculis et Bacchi expeditione et hac ipsa Macedonica. Sane Sesostrim Ægyptium et Tearconem Æthiopem usque in Europam processisse, Nabucodonosorum autem, qui apud Chaldæos inclaruit magis quam Hercules, vel usque ad columnas progressum esse, quousque etiam Tearconem; illum etiam exercitum ex Hispania in Thraciam et Pontum duxisse; Idanthyrsam Scytham, factis in Asiam excursionibus, attigisse etiam Ægyptum : ad Indiam vero eorum neminem pervenisse; nam Semiramin, priusquam egrederetur, obiisse. A Persis Hydracas ex India mercede accitos fuisse; illos autem copias suas in Indiam duxisse nunquam, prope tamen accessisse, quum Cyrus duceret in Massagetas.

Herculis autem et Bacchi res gestas Megasthenes cum paucis quibusdam credit; reliquorum longe plurimi, inter eosque etiam Eratosthenes fabulosa et non credenda putant, sicuti etiam ea, quæ apud Græcos circumferuntur.

21.

Scribit Megasthenes, neque Indos cum ullis hominibus bellum unquam gessisse, neque ullos externos Indis bellum intulisse. (5) Sesostrim enim Ægyptium, magna Asiæ parte subacta, postquam in Europam usque cum exercitu processerat, retrocessisse; (6) Indathyrsim autem Scytham e Scythia profectum multas Asiæ gentes debellasse : Ægyptum etiam victorem adiisse; (7) ac Semiramidem quidem Assyriam tentasse exercitum in Indos ducere, sed mortem ejus consilia conatusque fregisse; solum vero Alexandrum in Indos expeditionem fecisse. (8) Atqui ante Alexandrum fama tenet Liberum contra Indos expeditionem suscepisse, eosque subegisse : de Hercule infirmior fama est. (9) At vero expeditionis a Libero factæ non leve

Μακεδονικὸν δοκέει μοί τι κόμπασμα, κατάπερ καὶ τὸν Παραπάμισον Καύκασον ἐκάλεον Μακεδόνες, οὐδέν τι προσήκοντα τοῦτον τῷ Καυκάσῳ. (11) Καί τι καὶ ἄντρον ἐπιφρασθέντες ἐν Παραπαμισάδαισι, τοῦτο ἔφρασαν ἐκεῖνο εἶναι τοῦ Προμηθέως τοῦ Τιτῆνος τὸ ἄντρον, ἐν ὅτεῳ ἐκρέματο ἐπὶ τῇ κλοπῇ τοῦ πυρός. (12) Καὶ δὴ καὶ ἐν Σίβαισιν, Ἰνδικῷ γένεϊ, ὅτι δορὰς ἀμπεχομένους εἶδον τοὺς Σίβας, ἀπὸ τῆς Ἡρακλέος στρατηλασίης ἔφασκον τοὺς ὑπολειφθέντας εἶναι τοὺς Σίβας· καὶ γὰρ καὶ σκυτάλην φέρουσί τε οἱ Σίβαι, καὶ τοῖς βουσὶν αὐτῶν ῥόπαλον ἐπικέκαυται· καὶ τοῦτο ἐς μνήμην ἀνέφερον τοῦ ῥοπάλου τοῦ Ἡρακλέος.

22.

Josephus Ant. Iud. X, 11, 1 : [Ἐν δὲ τοῖς βασιλείοις τούτοις ἀναλήμματα λίθινα ἀνοικοδομήσας (scil. ὁ Ναβουχοδονόσορος), καὶ τὴν ὄψιν ἀποδοὺς ὁμοιοτάτην τοῖς ὄρεσι καταφυτεύσας δένδρεσι παντοδαποῖς ἐξειργάσατο, διὰ τὸ τὴν γυναῖκα αὐτοῦ ἐπιθυμεῖν τῆς οἰκείας διαθέσεως ὡς τεθραμμένην ἐν τοῖς κατὰ Μηδίαν τόποις.] Καὶ Μεγασθένης δὲ ἐν τῇ δ' (l. δευτέρᾳ) τῶν Ἰνδικῶν μνημονεύει αὐτῶν, δι' ἧς ἀποφαίνειν πειρᾶται τοῦτον τὸν βασιλέα τῇ ἀνδρείᾳ καὶ τῷ μεγέθει τῶν πράξεων ὑπερβεβηκότα τὸν Ἡρακλέα· καταστρέψασθαι γὰρ αὐτόν φησι Λιβύης τὴν πολλὴν καὶ Ἰβηρίαν. Καὶ Διοκλῆς δὲ ἐν τῇ δευτέρᾳ τῶν Περσικῶν μνημονεύει τούτου τοῦ βασιλέως, καὶ Φιλόστρατος ἐν ταῖς Ἰνδικαῖς αὐτοῦ καὶ Φοινικικαῖς ἱστορίαις, ὅτι οὗτος ὁ βασιλεὺς ἐπολιόρκησε Τύρον ἔτεσι τρισὶ καὶ δέκα, βασιλεύοντος κατ' ἐκεῖνον τὸν καιρὸν Ἰθωβάλου τῆς Τύρου.

Eadem brevius iterum affert Josephus C. Apion. I, 20, p. 1174. Josephum exscripsit Zonaras I, p. 87 ed. Basil. et Syncellus p. 221 D, ubi sic : Τὸν Ναβουχοδονόσωρ ὁ Μεγασθένης ἐν τῇ δ' (l. δευτέρᾳ) τῶν Ἰνδικῶν Ἡρακλέους ἀλκιμώτερον ἀποφαίνει, ὃς ἀνδρείᾳ μεγάλῃ Λιβύης τὸ πλεῖστον καὶ Ἰβηρίας κατεστρέψατο. Συμφωνεῖ δὲ αὐτῷ καὶ Φιλόστρατος ἐν ταῖς Ἱστορίαις, ἔνθα καὶ περὶ τῆς Τύρου πολιορκίας καὶ τῶν Φοινίκων πάλαι, αἵτινες ἱστορίαι φέρονται περὶ τοῦ Ναβουχοδονόσωρ, ὅτι Συρίαν καὶ Αἴγυπτον καὶ πᾶσαν τὴν Φοινίκην κατεστρέψατο πολέμοις. (De Philostrati Indicis aliunde non constat.)

Euseb. Pr. Ev. IX, p. 456, D : Εὗρον δὲ καὶ ἐν τῇ Ἀβυδηνοῦ Περὶ Ἀσσυρίων γραφῇ περὶ τοῦ Ναβουχοδονόσωρ ταῦτα· » Μεγασθένης δέ φησι Ναβουκοδρόσορον Ἡρακλέος ἀλκιμώτερον γεγονότα ἐπί τε Λιβύην καὶ Ἰβηρίην στρατεῦσαι· ταύτας δὲ χειρωσάμενον ἀποδασμὸν αὐτέων εἰς τὰ δεξιὰ τοῦ Πόντου κατοικίσαι. (Quæ sequuntur non sunt Megasthenis, sed Abydeni).

Idem Chron. Arm. p. 27. ed. Mai : *Audi et Abydenum. Hercule, inquit, fortior erat* (Nabuchodonosor)*; idque exponit hac ratione sermonis : Potentissimus, ait, Nabucodrosorus, qui ipsi Herculi fortitudine præstitit, in Libyam et Iberiam magnis copiis expeditionem suscepit : quibus* (regionibus) *debellatis, incolarum partem in Ponti dexteram oram transtulit.* »

Formas ionicas in Megasthenis verba intulit Abydenus, quem ionica dialecto scripsisse constat.

23.

Arrianus Ind. c. 7 : Ἔθνεα δὲ Ἰνδικὰ εἴκοσι καὶ ἑκατόν τι ἅπαντα λέγει Μεγασθένης δυοῖν δέοντα. [Καὶ πολλὰ μὲν εἶναι ἔθνεα Ἰνδικὰ καὶ αὐτὸς ξυμφέρομαι Μεγασθένεϊ· τὸ δὲ ἀτρεκὲς οὐκ ἔχω εἰκάσαι ὅπως ἐκμαθὼν ἀνέγραψεν, οὐδὲ πολλοστὸν μέρος τῆς Ἰνδῶν γῆς ἐπελθών, οὐδὲ ἐπιμιξίης πᾶσι τοῖς γένεσιν ἐούσης ἐς ἀλλήλους.]

Πάλαι μὲν δὴ νομάδας εἶναι Ἰνδοὺς κατάπερ Σκυθέων τοὺς οὐκ ἀροτῆρας, οἳ ἐπὶ τῇσιν ἁμάξῃσι πλανώμενοι ἄλλοτε ἄλλην τῆς Σκυθίης ἀμείβουσιν, οὔτε πόλιας οἰκέοντες οὔτε ἱερὰ θεῶν σέβοντες· οὕτω μηδὲ Ἰνδοῖσι πόλιας εἶναι μηδὲ ἱερὰ θεῶν δεδομημένα· ἀλλ' ἀμπέχεσθαι μὲν δορὰς θηρίων ὅσων κατακτάνοιεν· σι-

---

documentum est Nyssa urbs et Merus mons, quodque hedera in hoc monte nascitur : quod præterea Indi ipsi tympana ac cymbala pulsantes pugnas adeunt, itemque veste distincta maculis, Libero patri bacchantium more, utuntur. (10) Herculis autem non multa monimenta exstant. Quod enim Aornum petram, quam Alexander vi cepit, Hercules expugnare non potuerit, Macedonica quædam jactantia mihi videtur : quemadmodum et Parapamisum montem Caucasum vocarunt Macedones, nihil ad Caucasum pertinentem. (11) Antrum quoque aliquod quum apud Parapamisadas esse acceperant, Promethei Titanis esse dixerunt, in quo ille ob ignem furto sublatum in crucem actus fuerit. (12) Apud Sibas quoque, Indicam gentem, quod eos pellibus amictos conspexerant, ab Herculis expeditione relictos esse Sibas disserebant; porro quum clavam gestent Sibæ, et bubus clavæ notam inurant hoc quoque ad memoriam clavæ Herculis retulerunt.

22.

Megasthenes quoque Nabucodonosori regiæ meminit, Indicorum libro secundo, ubi ostendere conatur hunc regem fortitudine et rerum gestarum magnitudine Herculem longe superasse; subegisse enim magnam Libyæ partem et Iberiam. Porro Diocles secundo Persicorum libro hujus regis mentionem facit, nec non Philostratus in Indicis suis et Phœniciis historiis, quod hic rex tredecim annos Tyrum oppugnaverit, Ithobali Tyriorum regis temporibus.

23.

Gentes Indicas centum duodeviginti in universum statuit Megasthenes. Ego vero multas quidem Indiæ gentes esse, cum Megasthene senserim : unde autem certi aliquid cognoverit, conjectura assequi non possum, quum exiguam quandam Indiæ partem peragrarit, neque omnes ejus gentes commercia inter se agitent.

Olim quidem Indos nomades fuisse (dixit Megasthenes),

τέεσθαι δὲ τῶν δενδρέων τὸν φλοιόν· καλέεσθαι δὲ τὰ δένδρεα ταῦτα τῇ Ἰνδῶν φωνῇ Τάλα· καὶ φύεσθαι ἐπ' αὐτῶν κατάπερ τῶν φοινίκων ἐπὶ τῇσι κορυφῇσιν οἷά περ τολύπας. Σιτέεσθαι δὲ καὶ τῶν θηρίων ὅσα ἕλοιεν ὠμοφαγέοντας, πρὶν δὴ Διόνυσον ἐλθεῖν ἐς τὴν χώρην τῶν Ἰνδῶν. Διόνυσον δὲ ἐλθόντα, ὡς καρτερὸς ἐγένετο Ἰνδῶν, πόλιάς τε οἰκῆσαι καὶ νόμους θέσθαι τῇσι πόλισιν, οἴνου τε δοτῆρα Ἰνδοῖς γενέσθαι κατάπερ Ἕλλησι, καὶ σπείρειν διδάξαι τὴν γῆν διδόντα αὐτὸν σπέρματα· ἢ οὐκ ἐλάσαντος ταύτῃ Τριπτολέμου, ὅτε περ ἐκ Δήμητρος ἐστάλη σπείρειν τὴν γῆν πᾶσαν, ἢ πρὸ Τριπτολέμου τις οὗτος Διόνυσος ἐπελθὼν τὴν Ἰνδῶν γῆν σπέρματά σφισιν ἔδωκε καρποῦ τοῦ ἡμέρου· βόας τε ὑπ' ἀρότρῳ ζεῦξαι Διόνυσον πρῶτον, καὶ ἀροτῆρας ἀντὶ νομάδων ποιῆσαι Ἰνδῶν τοὺς πολλοὺς καὶ ὁπλίσαι ὅπλοισι τοῖσιν ἀρηΐοισι. Καὶ θεοὺς σέβειν ὅτι ἐδίδαξε Διόνυσος ἄλλους τε καὶ μάλιστα δὴ ἑωυτὸν κυμβαλίζοντας καὶ τυμπανίζοντας· καὶ ὄρχησιν δὲ ἐκδιδάξαι τὴν σατυρικήν, τὸν κόρδακα παρ' Ἕλλησι καλεόμενον· καὶ κομᾶν Ἰνδοὺς τῷ θεῷ, μιτρηφορέειν τε ἀναδεῖξαι καὶ μύρων ἀλοιφὰς ἐκδιδάξαι, ὥστε καὶ εἰς Ἀλέξανδρον ἔτι ὑπὸ κυμβάλων τε καὶ τυμπάνων ἐς τὰς μάχας Ἰνδοὶ καθίσταντο.

C. 8. Ἀπιόντα δὲ ἐκ τῆς Ἰνδῶν γῆς, ὥς οἱ ταῦτα κεκοσμέατο, καταστῆσαι βασιλέα τῆς χώρης Σπατέμβαν, τῶν ἑταίρων ἕνα τὸν βακχωδέστατον· τελευτήσαντος δὲ Σπατέμβα τὴν βασιληίην ἐκδέξασθαι Βουδύαν τὸν τούτου παῖδα· καὶ τὸν μὲν πεντήκοντα καὶ δύο ἔτεα βασιλεῦσαι Ἰνδῶν, τὸν πατέρα· τὸν δὲ παῖδα εἴκοσιν ἔτεα· καὶ τούτου παῖδα ἐκδέξασθαι τὴν βασιληίην Κραδεύαν· καὶ τὸ ἀπὸ τοῦδε τὸ πολὺ μὲν κατὰ γένος ἀμείβειν τὴν βασιληίην, παῖδα παρὰ πατρὸς ἐκδεκόμενον· εἰ δὲ ἐκλείποι τὸ γένος, οὕτω δὴ ἀριστίνδην καθίστασθαι Ἰνδοῖσι βασιλέας.

Ἡρακλέα δέ, ὅντινα ἐς Ἰνδοὺς ἀφικέσθαι λόγος κατέχει, παρ' αὐτοῖσιν Ἰνδοῖσι γηγενέα λέγεσθαι. Τοῦτον τὸν Ἡρακλέα μάλιστα πρὸς Σουρασηνῶν γεραίρεσθαι Ἰνδικοῦ ἔθνεος, ἵνα δύο πόλιες μεγάλαι Μέθορά τε καὶ Κλεισόβορα, καὶ ποταμὸς Ἰωβάρης πλωτὸς διαρρέει τὴν χώρην αὐτῶν. Τὴν σκευὴν δὲ οὗτος ὁ Ἡρακλέης ἥντινα ἐφόρεε, Μεγασθένης λέγει ὅτι ὁμοίην τῷ Θηβαίῳ Ἡρακλέϊ, ὡς αὐτοὶ Ἰνδοὶ ἀπηγέονται· καὶ τούτῳ ἄρσενας μὲν παῖδας πολλοὺς κάρτα γενέσθαι ἐν τῇ Ἰνδῶν γῇ, (πολλῇσι γὰρ δὴ γυναιξὶν ἐς γάμον ἐλθεῖν καὶ τοῦτον τὸν Ἡρακλέα,) θυγατέρα δὲ μουνογενέην· οὔνομα δὲ εἶναι τῇ παιδὶ Πανδαίην, καὶ τὴν χώρην ἵνα τε ἐγένετο καὶ ἧστινος ἐπέτρεψεν αὐτὴν ἄρχειν Ἡρακλέης, Πανδαίην, τῆς παιδὸς ἐπώνυμον· καὶ ταύτῃ ἐλέφαντας μὲν γενέσθαι ἐκ τοῦ πατρὸς ἐς πενταχοσίους, ἵππον δὲ ἐς τετρακισχιλίην, πεζῶν δὲ ἐς τὰς τρεῖς καὶ δέκα μυριάδας. Καὶ τάδε μετεξέτεροι Ἰνδῶν περὶ Ἡρακλέος λέγουσιν· ἐπελθόντα αὐτὸν πᾶσαν γῆν καὶ θάλασσαν καὶ καθήραντα ὅ τι περ κακὸν κίναδος, ἐξευρεῖν ἐν τῇ θαλάσσῃ κόσμον γυναικήϊον· [ὅντινα καὶ εἰς τοῦτο ἔτι οἵ τε ἐξ Ἰνδῶν τῆς χώρης τὰ ἀγώγιμα παρ' ἡμέας ἀγινέοντες σπουδῇ ὠνεόμενοι ἐκκομίζουσι· καὶ Ἑλλήνων δὲ πάλαι καὶ Ῥωμαίων νῦν ὅσοι πολυκτέανοι καὶ εὐδαίμονες, μέζονι ἔτι σπουδῇ ὠνέονται·]

---

quemadmodum et Scythas, qui arationem non exercent, sed in plaustris degentes incertis sedibus vagantur, neque urbes incolunt, neque templa deorum colunt. Ita neque Indis urbes fuisse neque templa diis exstructa, sed ferarum quas occiderint exuviis se vestivisse : arborum corticibus vesci solitos fuisse; vocari autem eorum lingua eas arbores Tala et innasci iis, quemadmodum in verticibus palmarum, veluti glomos lanarum carptarum. Vesci etiam solitos fuisse feris quas venatu ceperint crudis, priusquam Liber ad Indos venisset. Quem, postquam venerat eosque devicerat, urbes Indorum condidisse, iisque leges sanxisse : vini etiam usum Indis dedisse, ut et Græcis, dato etiam semine rationem serendi eos docuisse : sive quod Triptolemus, quum a Cerere ad conserendam universam terram missus fuisset, ad eam regionem non pervenerit; sive quod ante Triptolemum hic Liber, quisquis sit, ad Indos profectus frugum mitium semina iis dederit. Primum etiam Liberum boves aratro junxisse, et plerosque Indorum ex erronibus aratores fecisse, martiisque armis armavisse : et cultum quum aliorum deorum tum sui ipsius docuisse, quem cymbalorum et tympanorum pulsu fieri jusserit. Saltationem etiam satyricam induxisse, quam Græci Cordaca vocant. Ad hæc comam deo nutrire, mitram gerere unguentisque uti ostendisse Bacchum : adeo ut ad Alexandri usque tempora cum cymbalis et tympanis prælia Indi inierint.

Discedentem vero ex India Liberum, rebus ita constitutis, regem Indis præfecisse Spatembam, unum ex amicis, rerum Bacchicarum peritissimum. Quo mortuo ad Budyam ejus filium regnum transiisse. Et Spatembam quidem annos LII Indis imperasse : Budyam non plus XX. Hujus filium Cradeuam in regnum successisse; (3) atque exinde plerumque successione regnum a patribus in filios per manus esse traditum. Si vero regem absque liberis decedere contingeret, optimos quosque ab Indis reges creatos esse.

Herculem porro, quem ad Indos pervenisse fama est, terrigenam ipsos Indos vocasse, atque hunc a Surasenis Indica gente præcipue coli, qui quidem duas magnas urbes habent, Methoram et Clisoboram. Jobares fluvius navigabilis per eorum regionem fluit. Hic Hercules, ut auctor est Megasthenes, eodem cultu corporis quo Thebanus Hercules utebatur, quod Indi ipsi narrant; multosque admodum ei liberos mares in India fuisse dicit : multas enim uxores habuisse etiam hunc Herculem : filiam vero unicam, nomine Pandæam : regionem quoque in qua nata est, et cujus imperio eam præfecit Hercules, Pandæam a filiæ nomine appellatam : eamque possedisse ab patre elephantos D, equites ad IIII M., pedites circiter C XXX M. Sunt et Indi, qui hoc quoque de Hercule narrent. Quum universam terram ac mare peragrasset, et quidquid erat malarum bestiarum sustulisset, ornatum quendam muliebrem in mari reperisse. Quem etiam in hunc diem qui merces ex India ad nos afferunt, magno studio ementes exportant : sed et quotquot apud Græcos olim et nunc apud Romanos ditiores sunt, majore adhuc studio emunt marinam margaritam (*mangara indice*) ita Indorum lingua dictam. Herculem enim,

τὸν μαργαρίτην δὴ τὸν θαλάσσιον, οὕτω τῇ Ἰνδῶν γλώσσῃ καλεόμενον· τὸν γὰρ Ἡρακλέα, ὡς καλόν οἱ ἐφάνη τὸ φόρημα, ἐκ πάσης τῆς θαλάσσης ἐς τὴν Ἰνδῶν γῆν συναγινέειν τὸν μαργαρίτην δὴ τοῦτον, τῇ θυγατρὶ τῇ ἑωυτοῦ εἶναι κόσμον.

Καὶ λέγει Μεγασθένης (*), θηρεύεσθαι αὐτοῦ τὴν κόγχην δικτύοισι, νέμεσθαι δ' ἐν τῇ θαλάσσῃ κατ' αὐτὸ πολλὰς κόγχας, κατάπερ τὰς μελίσσας· καὶ εἶναι γὰρ καὶ τοῖσι μαργαρίτῃσι βασιλέα ἢ βασίλισσαν, ὡς τῇσι μελισσίῃσι. Καὶ ὅστις μὲν ἐκεῖνον κατ' ἐπιτυχίην συλλάβοι, τοῦτον δὲ εὐπετέως περιβάλλειν καὶ τὸ ἄλλο σμῆνος τῶν μαργαριτέων· εἰ δὲ διαφύγοι σφᾶς ὁ βασιλεὺς, τούτῳ δὲ οὐκέτι θηρατοὺς εἶναι τοὺς ἄλλους· τοὺς ἁλόντας δὲ περιορᾶν κατασαπῆναί σφισι τὴν σάρκα, τῷ δὲ ὀστέῳ ἐς κόσμον χρῆσθαι. Καὶ εἶναι γὰρ καὶ παρ' Ἰνδοῖσι τὸν μαργαρίτην τριστάσιον κατὰ τιμὴν πρὸς χρυσίον τὸ ἄπεφθον, καὶ τοῦτο ἐν τῇ Ἰνδῶν γῇ ὀρυσσόμενον.

C. 9. Ἐν δὲ τῇ χώρῃ ταύτῃ, ἵνα ἐβασίλευσεν ἡ θυγάτηρ τοῦ Ἡρακλέος, τὰς μὲν γυναῖκας ἑπταέτεας ἐούσας ἐς ὥρην γάμου ἰέναι, τοὺς δὲ ἄνδρας τεσσαράκοντα ἔτεα τὰ πλεῖστα βιώσκεσθαι *. Καὶ ὑπὲρ τούτου λεγόμενον λόγον εἶναι παρ' Ἰνδοῖσιν· Ἡρακλέα, ὀψιγόνου οἱ γενομένης τῆς παιδὸς, ἐπεί τε δὴ ἐγγὺς ἔμαθεν ἑωυτῷ ἐοῦσαν τὴν τελευτὴν, οὐκ ἔχοντα ὅτεῳ ἀνδρὶ ἐκδῷ τὴν παῖδα ἑωυτοῦ ἐπαξίῳ, αὐτὸν μιγῆναι τῇ παιδὶ ἑπταέτεϊ ἐούσῃ, ὡς γένος ἐξ οὗ τε κἀκείνης ὑπολείπεσθαι Ἰνδῶν βασιλέας. Ποιῆσαι ὦν αὐτὴν Ἡρακλέα ὡραίην γάμου· καὶ ἐκ τοῦδε ἅπαν τὸ γένος τοῦτο ὅτου ἡ Πανδαίη ἐπῆρξε, ταὐτὸ τοῦτον γέρας ἔχειν παρὰ Ἡρακλέος [Ἐμοὶ δὲ δοκέει, εἴπερ ὦν τὰ ἐς τοσόνδε ἄτοπα Ἡρακλέης οἷός τε ἦν ἐξεργάζεσθαι, καὶ αὐτὸν ἀποφῆναι μακροβιώτερον, ὡς ὡραίῃ μιγῆναι τῇ παιδί. Ἀλλὰ γὰρ εἰ ταῦτα ὑπὲρ τῆς ὥρης τῶν ταύτῃ παίδων ἀτρεκέα ἐστὶν, ἐς ταὐτὸν φέρειν δοκέει ἔμοιγε ἐς ὅ τι περ καὶ ὑπὲρ τῶν ἀνδρῶν τῆς ἡλικίης ὅτι τεσσαρακοντούτεες ἀποθνήσκουσιν οἱ πρεσβύτατοι αὐτῶν. Οἷς γὰρ τό τε γῆρας τοσῷδε ταχύτερον ἐπέρχεται καὶ ὁ θάνατος ὁμοῦ τῷ γήραϊ, πάντως που καὶ ἡ ἀκμὴ πρὸς λόγον τοῦ τέλεος ταχυτέρη ἐπανθέει· ὥστε τριακοντούτεες μὲν ὠμογέροντες ἄν που εἶεν αὐτοῖσιν οἱ ἄνδρες, εἴκοσι δὲ ἔτεα γεγονότες οἱ ἔξω ἥβης νεηνίσκοι· ἡ δὲ ἀκροτάτη ἥβη ἀμφὶ τὰ πεντεκαίδεκα ἔτεα· καὶ τῇσι γυναιξὶν ὥρη τοῦ γάμου κατὰ λόγον ἂν οὕτω ἐς τὰ ἑπτὰ ἔτεα συμβαίνοι.] Καὶ γὰρ τοὺς καρποὺς ἐν ταύτῃ τῇ χώρῃ πεπαίνεσθαί τε ταχύτερον μὲν τῆς ἄλλης, αὐτὸς οὗτος Μεγασθένης ἀνέγραψε, καὶ φθίνειν ταχύτερον.

Ἀπὸ μὲν δὴ Διονύσου βασιλέας ἠρίθμεον Ἰνδοὶ ἐς Σανδράκοττον τρεῖς καὶ πεντήκοντα καὶ ἑκατόν· ἔτεα δὲ δύο καὶ τεσσαράκοντα καὶ ἑξακισχίλια· ἐν δὲ τούτοισι τρὶς τὸ πᾶν εἰς ἐλευθερίην ** τὴν δὲ καὶ ἐς τριηκόσια· τὴν δὲ εἴκοσί τε ἐτέων καὶ ἑκατόν (*)· πρεσβύ-

(*) Plinius H. N. IX, 55 : *Quidam tradunt, sicut apibus, ita concharum examinibus singulas magnitudine et vetustate præcipuas esse veluti duces, miræ ad cavendum solertiæ, has urinantium cura peti. Illis captis facile ceteras palantes retibus includi : multo deinde obrutis sale in vasis fictilibus, erosa carne omni, nucleos quosdam corporum, hoc est uniones, decidere in ima.*

(*) Plinius VI, 21, 4 : *Indi enim prope gentium soli nunquam migravere finibus suis. Colliguntur a Libero patre ad Alexandrum magnum reges eorum CLIV (CLIII alii) annis VI. M CCCCLI. adjiciunt et menses tres.* Solin. 52, 5 : *Indiam Liber pater primus ingressus est, utpote qui Indis subactis omnium primus triumphavit. Ab hoc ad Alexandrum M. numerantur annorum sex millia quadringenti quinquaginta unus, additis et amplius tribus mensibus, habita per reges computatione, qui centum quinquaginta tres tenuisse medium ævum deprehenduntur.*

---

quum hic ornatus pulcher ei videretur, margaritas hujus generis ex universo mari in Indiam collegisse, quibus filia ejus ornaretur.

Megasthenes concham hujus margaritæ retibus capi scribit; versari autem in mari eodem loco agmen multarum concharum, veluti apum examen. Regem enim suum etiam aut reginam margaritas habere, ut apes : ac si forte contingat regem capi, reliquum etiam margaritarum examen facile ab eodem circumcingi : si vero rex piscatores evadat, ne reliquas quidem conchas capi posse. Earum carnes Indos, ubi eas ceperint, putrescere sinere; osse ad ornatum uti. Esse autem etiam apud Indos margaritas ter tanto auri solidi, quod ipsum etiam in India effoditur, pondere æstimatas.

Ad hæc in his regionibus quibus Herculis filia imperitavit, feminas ubi ad septimum ætatis annum pervenerint viro maturas nubere : viros XL summum annos vivere. Atque hac de re hujuscemodi sermonem apud Indos jactari. Quum Herculi jam seni hæc filia nata esset, neque procul abesse vitæ suæ finem suspicaretur, nec inveniret virum tali sponsa dignum, ipsum cum filia septem annos nata coiisse, ut sobolem ex se et illa relinqueret reges Indiæ. Herculem itaque illam nubilem fecisse. Atque exinde universam eam gentem cui Pandæa imperavit id ipsum beneficii ab Hercule accepisse. Mea vero sententia est : si Hercules par erat rei adeo absurdæ perpetrandæ, diuturnioris etiam se ipsum vitæ facere potuisset, ut cum filia matura rem habere posset. Quodsi tamen hæc de puellarum istius loci maturitate vera sunt, eodem mihi spectare videntur, quo etiam spectat illud de virorum ætate, quod qui quam longissime vivant quadragesimum annum non excedant. Quibus enim senectus tanto celerius advenit atque simul cum senectute mors, iis omnino et vigor ætatis, proportione quadam ad finem vitæ habita, citius accedat necesse est, ita ut viri triginta annos nati jam ad primam illam viridem senectam pervenisse dicendi sint : et qui XX, juvenes quidem sint, sed qui pubertatis ætatem excesserint : qui circiter XV, summis pubertatis viribus floreant; et feminis eadem ratione maturitas ad nuptias septimo anno contingat : quippe et fructus in ea regione citius quam in alia ulla maturescere, citiusque interire idem Megasthenes scribit.

A Baccho quidem ad Sandracottum Indi reges numerabant CLIII, annos vero VI M XLII. In his vero ter summam rerum in libertatem ** deinde adeo per annos CCC, denique

τερόν τε Διόνυσον Ἡρακλέος δέκα καὶ πέντε γενεῆσιν Ἰνδοὶ λέγουσιν· ἄλλον δὲ οὐδένα ἐμβαλεῖν ἐς γῆν τὴν Ἰνδῶν ἐπὶ πολέμῳ, οὐδὲ Κῦρον τὸν Καμβύσεω, καίτοι ἐπὶ Σκύθας ἐλάσαντα καὶ τἄλλα πολυπραγμονέστατον δὴ τῶν κατὰ τὴν Ἀσίην βασιλέων γενόμενον τὸν Κῦρον· ἀλλὰ Ἀλέξανδρον γὰρ ἐλθεῖν τε καὶ κρατῆσαι πάντων τοῖς ὅπλοις, ὅσους γε δὴ ἐπῆλθε· καὶ ἂν καὶ πάντων κρατῆσαι, εἰ ἡ στρατιὴ ἤθελεν. Οὐ μὲν δὴ οὐδὲ Ἰνδῶν τινα ἔξω τῆς οἰκηίης σταλῆναι ἐπὶ πολέμῳ διὰ δικαιότητα.

Cf. fr. 2, § 20 sqq. Schwanbeckius de Baccho et Hercule Megasthenis docet hæc p. 44 : « Evidentissime *Crisnam* describit Herculis nomine, quem, cui responderet, ex Alexandri scriptoribus vix certo poteras definire. Eum coli ait ab incolis planitiei, Pataliputræ etiam ut urbis conditorem (cf. fr. 1, § 26), maxime *Methoræ* et *Carisoboræ*, in oppidis Çurasênarum ad Jamunam sitis : re vera, ut inter omnes constat, Indi adhuc *Mathuræ* Crisnam natum esse credunt, et hodie quoque urbem ei sacram habent, altera autem urbs Carisobora ex ipso Crisnæ nomine nuncupata videtur (*Crisna-pura*). Megasthenes, dum γηγενέα illum appellat, ex parte quidem jam reliquit Macedonum opinionem, sed in reliquam descriptionis partem Herculis Græci respectus vim magnam habuit. Aliquam partem narrationis docte explicavit Lassenius *Zeitschrift für d. Kunde des Morgenlandes*. — Alterum deum quem Dionysum Græci vocant, eundem atque *Çivam* esse, ex descriptione comitum Alexandri jam satis apparet; eum Megasthenes magis ad similitudinem Græci dei descripsit. »

24.

Phlegon Mirab. c. 33 : Μεγασθένης δέ φησιν, τὰς ἐν Παλαίᾳ (sc. Πανδαίᾳ) κατοικούσας γυναῖκας ἑξαετεῖς (ἑπταετεῖς Arrian. fr. 23) γινομένας τίκτειν.

Cf. de Pandæa Polyæn. Strateg. I, 3, 4 : Ἡρακλῆς ἐν Ἰνδικῇ θυγατέρα ἐποιήσατο, ἣν ἐκάλεσε Πανδαίην. Ταύτῃ νείμας μοῖραν τῆς Ἰνδικῆς πρὸς μεσημβρίαν καθήκουσαν εἰς θάλασσαν, διένειμε τοὺς ἀρχομένους εἰς κώμας τριακοσίας ἑξήκοντα πέντε, προστάξας καθ' ἑκάστην ἡμέραν μίαν κώμην ἀναφέρειν τὸν βασίλειον φόρον, ἵνα τοὺς διδόντας ἔχοι συμμάχους ἡ βασιλεύουσα, καταπονοῦσα ἀεὶ τοὺς δοῦναι ὀφείλοντας.

Adde de Pandarum gente Plin. VI, 22, 6 : *Ab iis gens Pandæ, sola Indorum regnata feminis. Unam Herculi sexus ejus genitam ferunt, ob idque gratiorem præcipuo regno donatam. Ab ea deducentes originem imperitant CCC oppidis, peditum CL mill., elephantis quingentis.* Cf. Steph. Byz. v. Πανδαίη. « Utram gentem hac voce significet, *Pând'jas* in australi Indiæ parte habitantes et in carminibus epicis jam commemoratos (ex. c. Mahâb'. V. 578, II, 2222.) aut *Pând'avas* epicis carminibus illustratos, certo constitui non potest : illam conjecturam nomen Πανδαίη Indico nomine Pând'ja accuratissime conveniens, et margaritarum mentio, et maturæ pubertatis feminarum descriptio, hanc aliæ narrationis partes ita juvant, ut Lassenius hanc malit. *Zeitschr.* V, p. 252. » *Schwanbeck*. p. 38.

25.

Strabo XV, p. 702 : Ἐπὶ δὲ τῇ συμβολῇ τούτου (τοῦ Γάγγου) τε καὶ τοῦ ἄλλου ποταμοῦ τὰ Παλίβοθρα ἱδρύσθαι (sc. Μεγασθένης φησὶ) σταδίων ὀγδοήκοντα τὸ μῆκος, πλάτος δὲ πεντεκαίδεκα, ἐν παραλληλογράμμῳ σχήματι, ξύλινον περίβολον ἔχουσαν κατατετρημένον, ὥστε διὰ τῶν ὀπῶν τοξεύειν· προκεῖσθαι δὲ καὶ τάφρον φυλακῆς τε χάριν καὶ ὑποδοχῆς τῶν ἐκ τῆς πόλεως ἀπορροιῶν. Τὸ δ' ἔθνος, ἐν ᾧ ἡ πόλις αὕτη, καλεῖσθαι Πρασίους, διαφορώτατον τῶν πάντων· τὸν δὲ βασιλεύοντα ἐπώνυμον δεῖ τῆς πόλεως εἶναι Παλίβοθρον καλούμενον, πρὸς τῷ ἰδίῳ τῷ ἐκ γενετῆς ὀνόματι, καθάπερ τὸν Σανδρόκοττον, πρὸς ὃν ἧκεν ὁ Μεγασθένης πεμφθείς.

Antecedentia vide fr. 18. Subjiciuntur hæc, quæ item ad Megasthenem pertinent : Ἀρίστη (regio Indiæ) δ' ὁμολογεῖται πᾶσα ἡ τοῦ Ὑπάνιος πέραν· οὐκ ἀκριβοῦται δέ, ἀλλὰ διὰ τὴν ἄγνοιαν καὶ τὸν ἐκτοπισμὸν λέγεται πάντ' ἐπὶ τὸ μεῖζον ἢ τὸ τερατωδέστε-

---

per annos CXX. Bacchum Indi Hercule antiquiorem esse dicunt XV ætatibus : nullumque alium belli inferendi causa fines suos ingressum, ne Cyrum quidem Cambysis filium, quamvis is adversus Scythas exercitum duxerit et alioqui plurima molitus sit inter reges Asiæ. Alexandrum vero in eas regiones venisse, omnesque armis subegisse ad quas pervenerit : ac ceteros omnes subacturum fuisse, nisi exercitus ulterius progredi recusasset. Sed neque Indorum quemquam extra patriam profectum esse ad bellum, propter justitiam.

24.

Megasthenes ait in Pandæa regione mulieres sexennes parere.

25.

In Gangis et alius fluvii concursu Megasthenes ait sita esse Palibothra, octoginta stadiorum longitudine, latitudine stadiorum quindecim, figura quadrangula, lateribus oppositis eandem ubique servantibus distantiam, mœnibus ligneis et perforatis circumdatam, ita ut per foramina sagittent. Ante murum etiam fossam esse tutelæ gratia et recipiendorum purgamentorum ex urbe effluentium. Gentem, in cujus terra urbs est, Prasios vocari, inter omnes præstantissimam. Ejus regem præter proprium nomen quod a natalibus habet, de nomine urbis Palibothrum appellari, sicuti Sandrocottum, ad quem missus Megasthenes fuit.

Quæ trans Hypanim regio est, eam optimam esse in confesso habetur. Verum de his nihil accurate et certo tradi-

ρον· οἷα τὰ τῶν χρυσωρύχων μυρμήκων, καὶ ἄλλων θηρίων τε καὶ ἀνθρώπων ἰδιομόρφων, καὶ δυνάμεσί τισιν ἐξηλλαγμένων· ὡς τοὺς Σῆρας μακροβίους φασὶ, πέρα καὶ διακοσίων ἐτῶν παρατείνοντας. Λέγουσι δὲ καὶ ἀριστοκρατικήν τινα σύνταξιν πολιτείας αὐτόθι ἐκ πεντακισχιλίων βουλευτῶν συνεστῶσαν, ὧν ἕκαστον παρέχεσθαι τῷ κοινῷ ἐλέφαντα. Sequitur fr. 10.

26.

Arrian. Ind. c. 10 : Λέγεται δὲ καὶ τάδε, μνημήια ὅτι Ἰνδοὶ τοῖς τελευτήσασιν οὐ ποιέουσιν, ἀλλὰ τὰς ἀρετὰς γὰρ τῶν ἀνδρῶν ἱκανὰς ἐς μνήμην τίθενται τοῖσιν ἀποθανοῦσι, καὶ τὰς ᾠδὰς αἳ αὐτοῖσιν ἐπᾴδονται. (2) Πολίων δὲ ἀριθμὸν οὐκ εἶναι ἂν ἀτρεκὲς ἀναγράψαι τῶν Ἰνδικῶν ὑπὸ πλήθεος· ἀλλὰ γὰρ ὅσαι παραποτάμιαι αὐτέων ἢ παραθαλάσσιαι, ταύτας μὲν ξυλίνας ποιέεσθαι· (3) οὐ γὰρ εἶναι ἐκ πλίνθου ποιεομένας διαρκέσαι ἐπὶ χρόνον τοῦ τε ὕδατος ἕνεκα τοῦ ἐξ οὐρανοῦ, καὶ ὅτι οἱ ποταμοὶ αὐτοῖσιν ὑπερβάλλοντες ὑπὲρ τὰς ὄχθας ἐμπιπλᾶσι τοῦ ὕδατος τὰ πεδία. (4) Ὅσαι δὲ ἐν ὑπερδεξίοισί τε καὶ μετεώροισι τόποισι καὶ τούτοισιν ὑψηλοῖσιν, ᾠκισμέναι εἰσὶ, ταύτας δὲ ἐκ πλίνθου τε καὶ πηλοῦ ποιέεσθαι· (5) μεγίστην δὲ πόλιν ἐν Ἰνδοῖσιν εἶναι Παλίμβοθρα καλεομένην, ἐν τῇ Πρασίων γῇ, ἵνα αἱ συμβολαί εἰσι τοῦ τε Ἐραννοβόα ποταμοῦ καὶ τοῦ Γάγγεω· τοῦ μὲν Γάγγεω, τοῦ μεγίστου ποταμῶν· ὁ δὲ Ἐραννοβόας τρίτος μὲν ἂν εἴη τῶν Ἰνδῶν ποταμῶν, μέζων δὲ τῶν ἄλλῃ καὶ οὗτος· ἀλλὰ ξυγχωρέει αὐτὸς τῷ Γάγγῃ, ἐπειδὰν ἐμβάλλῃ ἐς αὐτὸν τὸ ὕδωρ. (6) Καὶ λέγει Μεγασθένης, μῆκος μὲν ἐπέχειν τὴν πόλιν κατ' ἑκατέρην τὴν πλευρὴν ἵναπερ μακροτάτη αὐτὴ ἑωυτῆς ᾤκισται ἐς ὀγδοήκοντα σταδίους τὸ δὲ πλάτος ἐς πεντεκαίδεκα· (7) τάφρον δὲ περιβεβλῆσθαι τῇ πόλι τὸ εὖρος ἑξάπλεθρον, τὸ δὲ βάθος τριήκοντα πήχεων· πύργους δὲ ἑβδομήκοντα καὶ πεντακοσίους ἐπέχειν τὸ τεῖχος καὶ πύλας τέσσαρας καὶ ἑξήκοντα. (8) Εἶναι δὲ καὶ τόδε μέγα ἐν τῇ Ἰνδῶν γῇ, πάντας Ἰνδοὺς εἶναι ἐλευθέρους, οὐδέ τινα δοῦλον εἶναι Ἰνδόν· τοῦτο μὲν Λακεδαιμονίοισιν ἐς ταὐτὸ συμβαίνει καὶ Ἰνδοῖσι. (9) Λακεδαιμονίοισι μέν γε οἱ εἵλωτες δοῦλοί εἰσι καὶ τὰ δούλων ἐργάζονται· Ἰνδοῖσι δὲ οὐδὲ ἄλλος δοῦλός ἐστι μήτι γε Ἰνδῶν τις.

27.

Strabo XV, p. 709—710 : Εὐτελεῖς δὲ κατὰ τὴν δίαιταν οἱ Ἰνδοὶ πάντες, μᾶλλον δ' ἐν ταῖς στρατείαις· οὐδ' ὄχλῳ περιττῷ χαίρουσι· διόπερ εὐκοσμοῦσι. Πλείστη δ' ἐπιχειρία περὶ τὰς κλοπάς. Γενομένους (γενόμενος conj. Cas.) δ' οὖν ἐν τῷ Σανδροκόττου στρατοπέδῳ φησὶν ὁ Μεγασθένης, τετταράκοντα μυριάδων πλήθους ἱδρυμένου, μηδεμίαν ἡμέραν ἰδεῖν ἀνηνεγμένα κλέμματα πλειόνων ἢ διακοσίων δραχμῶν ἄξια, ἀγράφοις καὶ ταῦτα νόμοις χρωμένοις. (2) Οὐδὲ γὰρ γράμματα εἰδέναι αὐτοὺς, ἀλλ' ἀπὸ μνήμης ἕκαστα διοικεῖσθαι (*)· εὖ πράττειν δ' ὅμως διὰ τὴν ἁπλότητα καὶ

(*) Schwanbeckius l. l. p. 51 : « Neque qui non ignorat antiquitatem Indicam, quin per errorem dixerit ille, apud Indos scriptas leges non valere, facile dubitabit. Cujus erroris causa potest duplex fuisse : nam non modo adhuc peregrinatori ægre obvenit occasio scriptas leges videndi, quum Brahmanæ in memoria habeant legum codicem neque in judicium apportent, sed etiam Indi cum manifesta quadam causa legem appellant *smiriti* (i. e. μνήμη, memoria); itaque qui hujus rei ignarus erat, necessario in hunc modum ratiocinatus est, scriptas non exstare leges, ubi judicentur ex memoria omnia. Itaque etiam Nearchus ap. Strab. p. 716 contendit, τοὺς νόμους ἀγράφους εἶναι, et quod

---

tur, sed propter ignorantiam et longinquitatem inflatius et portentosius omnia narrantur : ut quæ de formicis perhibentur aurum effodientibus et de bestiis aliis et de hominibus, qui peculiares quasdam formas et singulares vires habeant : nam Seres tam longinquæ dicuntur vitæ, ut ducentesimum annum excedant. Ferunt etiam quendam optimatium ordinem rempublicam gubernare e quinque millibus consiliariorum constantem, quorum quisque elephantum reipublicæ præbeat.

26.

Feruntur etiam hæc : Non condere Indos monumenta mortuis; virtutes enim virorum ad perpetuandam post mortem memoriam sufficere existimant, et carmina atque odas, quæ in eorum honorem canuntur. (2) Urbium vero Indicarum numerum præ multitudine compertum non esse : eas vero quæ juxta flumina aut mare sitæ sint, ex lignea materia constructas esse; (3) neque enim, si ex latere confectæ essent, longo tempore duraturas, tum propter imbres, tum quod amnes superatis ripis plana loca aqua repleant. (4) Quæ vero in superioribus et sublimioribus præcipueque altis locis positæ sint, ex lateribus et cæmento factas esse. (5) Maximam autem apud Indos urbem esse Palimbothra in Prasiorum finibus, ad Erannoboæ et Gangis fluminum confluentem. ac Ganges quidem maximus omnium fluminum; Erannoboas autem tertius fortasse fuerit Indiæ fluminum, et major hic quoque aliarum terrarum fluviis, sed Gangi cedit, quum in eum aquam suam immittat. (6) Ait porro Megasthenes longitudinem urbis esse ab utroque latere, qua longissime habitatur, stadiorum LXXX, latitudinem XV; (7) fossamque urbi circumductam, latitudine sex jugerum, altitudine cubitorum XXX; murum turres habere DLXX, portas LXIV. (8) Hoc etiam esse memorabile in India, omnes Indos liberos esse, neque ullum omnino Indum servum esse. Qua quidem in re Indis cum Lacedæmoniis convenit. (9) Lacedæmoniis tamen Helotes servi sunt, serviliaque munia obeunt : Indis vero neque alius servus est, nedum Indorum quisquam.

27.

Indi in victu frugales sunt, præsertim in castris, et quia supervacaneis non delectentur, ornatu eleganti utantur. Furta apud eos perrara. Itaque eos qui in castris Sandracotti fuerint, quamquam ibi quadringentorum millium collocata multitudo esset, nullam tamen diem vidisse, qua ultra ducentarum drachmarum pretium furto essent ablata; idque apud Indos fieri qui non scriptis utantur legibus. (2) Neque enim literas eos nosse, sed memoriter omnia administrare, et nihilominus res iis prospere succedere propter simplicitatem et vitæ frugalitatem; nam vinum eos nonnisi in sacrificiis bibere, bibere vero ex oryza confectum loco hordei. Cibum quoque magna ex parte oryzam esse sorbi-

τὴν εὐτέλειαν· οἶνόν τε γὰρ οὐ πίνειν, ἀλλ' ἐν θυσίαις μόνον· πίνειν δ' ἀπ' ὀρύζης ἀντὶ κριθίνου συντιθέντας. Καὶ σιτία δὲ τὸ πλέον ὄρυζαν εἶναι ῥοφητήν. (3) Καὶ ἐν τοῖς νόμοις δὲ καὶ ἐν τοῖς συμβολαίοις τὴν ἁπλότητα ἐλέγχεσθαι ἐκ τοῦ μὴ πολυδίκους εἶναι· οὔτε γὰρ ὑποθήκης οὔτε παρακαταθήκης εἶναι δίκας· οὐδὲ μαρτύρων, οὐδὲ σφραγίδων αὐτοῖς δεῖν, ἀλλὰ πιστεύειν παραβαλλομένους· καὶ τὰ οἴκοι δὲ τὸ πλέον ἀφρουρεῖν. Ταῦτα μὲν δὴ σωφρονικά. Τἄλλ' οὐδ' ἄν τις ἀποδέξαιτο· τὸ μόνους διαιτᾶσθαι ἀεὶ, καὶ τὸ μὴ μίαν εἶναι πᾶσιν ὥραν κοινὴν δείπνου τε καὶ ἀρίστου, ἀλλ' ὅπως ἑκάστῳ φίλον. Πρὸς γὰρ τὸν κοινωνικὸν καὶ τὸν πολιτικὸν βίον ἐκείνως κρεῖττον (cf. Ælian. V. H. IV, 1; Nicolaus Dam. fr. 47).

4. Γυμνάσιον δὲ μάλιστα τρίψιν δοκιμάζουσι, καὶ ἄλλως καὶ διὰ σκυταλίδων ἐβενίνων λείων ἐξομαλίζονται τὰ σώματα. Λιταὶ δὲ καὶ αἱ ταφαὶ, καὶ μικρὰ χώματα. Ὑπεναντίως δὲ τῇ ἄλλῃ λιτότητι κοσμοῦνται. Χρυσοφοροῦσι γὰρ καὶ διαλίθῳ κόσμῳ χρῶνται, σινδόνας τε φοροῦσιν εὐανθεῖς καὶ σκιάδια αὐτοῖς ἕπεται· τὸ γὰρ κάλλος τιμῶντες ἀσκοῦσιν ὅσα καλλωπίζει τὴν ὄψιν· ἀλήθειάν τε ὁμοίως καὶ ἀρετὴν ἀποδέχονται· διόπερ οὐδὲ τῇ ἡλικίᾳ τῶν γερόντων προνομίαν διδόασιν, ἂν μὴ καὶ τῷ φρονεῖν πλεονεκτῶσι. Πολλὰς δὲ γαμοῦσιν ὠνητὰς παρὰ τῶν γονέων, λαμβάνουσί τε ἀντιδιδόντες ζεῦγος βοῶν· ὧν τὰς μὲν εὐπειθείας χάριν, τὰς δ' ἄλλας ἡδονῆς καὶ πολυτεκνίας· εἰ δὲ μὴ σωφρονεῖν ἀναγκάσαιεν, πορνεύειν ἔξεστι. Θύει δὲ οὐδεὶς ἐστεφανωμένος οὐδὲ σπένδει, οὐδὲ σφάττουσι τὸ ἱερεῖον ἀλλὰ πνίγουσιν, ἵνα μὴ λελωβημένον ἀλλ' ὁλόκληρον διδῶται τῷ θεῷ.

5. Ψευδομαρτυρίας δ' ὁ ἁλοὺς ἀκρωτηριάζεται· ὅ τε πηρώσας οὐ τὰ αὐτὰ μόνον ἀντιπάσχει, ἀλλὰ καὶ χειροκοπεῖται· ἐὰν δὲ καὶ τεχνίτου χεῖρα ἢ ὀφθαλμὸν ἀφέληται, θανατοῦται. Δούλοις δὲ οὗτος μέν φησι μηδένα Ἰνδῶν χρῆσθαι· ['Ονησίκριτος δὲ (fr. 20) τῶν ἐν τῇ Μουσικανοῦ τοῦτ' ἴδιον ἀποφαίνει κτλ.].

6. Τῷ βασιλεῖ δ' ἡ μὲν τοῦ σώματος θεραπεία διὰ γυναικῶν ἐστιν, ὠνητῶν καὶ αὐτῶν παρὰ τῶν πατέρων· ἔξω δὲ τῶν θυρῶν οἱ σωματοφύλακες καὶ τὸ λοιπὸν στρατιωτικόν· μεθύοντα δὲ κτείνασα γυνὴ βασιλέα γέρας ἔχει συνεῖναι τῷ ἐκεῖνον διαδεξαμένῳ· διαδέχονται δ' οἱ παῖδες. Οὐδ' ὑπνοῖ μεθ' ἡμέραν ὁ βασιλεὺς, καὶ νύκτωρ δὲ καθ' ὥραν ἀναγκάζεται τὴν κοίτην ἀλλάττειν διὰ τὰς ἐπιβουλάς.

7. Τῶν γε μὴ κατὰ πόλεμον ἐξόδων μία μέν ἐστιν ἡ ἐπὶ τὰς κρίσεις, ἐν αἷς διημερεύει διακούων οὐδὲν ἧττον, κἂν ὥρα γένηται τῆς τοῦ σώματος θεραπείας· αὕτη δ' ἐστὶν ἡ διὰ τῶν σκυταλίδων τρίψις· ἅμα γὰρ καὶ διακούει καὶ τρίβεται τεττάρων περιστάντων τρι-

est gravius, septem sæculis postea *Fa-hain* Sinensis quidam peregrinator refert in media India neque censum in usu esse neque leges. Foe-koue-ki. p. 99. Quod alterum contendit Megasthenes, οὐδὲ γράμματα εἰδέναι αὐτούς, explicatur, si cogitaveris, quemadmodum hæc cum illa sententia cohæreant. Ex eo enim, quod antea dixit, ἀγράφοις καὶ ταῦτα νόμοις χρωμένοις, et ex eo, quod tanquam contrarium addidit : ἀλλ' ἀπὸ μνήμης ἕκαστα διοικεῖσθαι· εὖ πράττειν δ' ὅμως διὰ τὴν ἁπλότητα καὶ τὴν εὐτέλειαν, quid sibi velit hæc sententia, οὐδὲ γ ρ ά μ μ α τ α εἰδέναι αὐτούς, plane intelligitur. Hoc enim Megasthenem voluise apparet, in judicio non adhiberi γράμματα, i. e. scriptas leges, libellos accusationis, tabulas. Vulgari in usu scriptionem fuisse Nearchus jam indicat ap. Strab. p. et 717 Curtius VIII, 9, et ipse Megasthenes ap. Strab. p. 708 hac narratione: οἱ ἀγορανόμοι — ὁδοποιοῦσι, καὶ κατὰ δέκα στάδια στήλην τιθέασι τὰς ἐκτροπὰς καὶ τὰ διαστήματα δηλοῦσαν. Ipse nimirum Strabo perperam opinatus esse videtur, Megasthenem negavisse litterarum usum, quum p. 717 dicat : τῶν ἄλλων γράμμασιν αὐτοὺς μὴ χρῆσθαι φαμένων, sed quum Megasthenis sententia plena atque integra supersit, nostrum in hac re licet sequi arbitrium. »

lem. (3) In legibus et contractibus simplicitatem eo argui, quod non multum habeant litium : nam neque pignoris neque depositi lites habere, nec testibus uti nec sigillis, sed fidem habere ei apud quem aliquid deponant; domi res utplurimum non custodiri. Atque hæc quidem temperantiam et modestiam arguentia bene se habent; cetera autem non facile quis probaverit : ut quod soli semper degunt, et quod non una omnibus cœnandi prandendique hora est, sed ut cuique libet : nam ad civilem socialemque vitam contraria sunt accommodatiora.

4. De corporis exercitationibus præcipue frictionem exercent, tum aliis modis tum strigilibus ebenis corpora lævigantes. In sepulturis et tumulis faciendis perparci sunt, in reliquo corporis cultu contra nimii. Nam et aurum gestant, et lapillis distincto ornatu utuntur, et sindones floridas induunt, et umbracula secum portant : etenim pulchritudinem colentes omnia faciunt quæ faciem decorare possint. Similiter veritatem atque virtutem in pretio habent. Itaque senum ætati prærogativam nullam tribuunt, nisi prudentia ii excellant. Multas nuptas habent, quas a parentibus accipiunt bovum pari emptas, alias obedientiæ gratia, alias prolis et voluptatis : et nisi castas esse cogant, scortari licet. Nemo ex Indis coronatus sacrificat, nec adolet nec libat; neque jugulant victimam, sed præcluso spiritu necant, nequid mancum deo offeratur, sed integrum.

5. Qui falsus testis deprehenditur, extremis partibus corporis mutilatur. Qui membro aliquo quempiam orbaverit, non modo talionis pœnam subit, sed etiam manu orbatur. Quodsi quis artificiis manum oculumve ademerit, morte luit pœnas. Idem Megasthenes dicit neminem Indorum servis uti, [quod Onesicritus proprium esse dicit eorum, qui sub Musicano sint].

6. Regi corpus mulieres curant, eæ quoque de parentibus emptæ. Qui regem custodiunt et reliquus exercitus manent extra portas. Si qua mulier regem ebrium occiderit, id præmii habet, ut cum illius successore jungatur : succedunt autem filii. Regi interdiu dormire non licet : nocte cogitur cubilia per horas mutare, idque propter insidias.

7. Præter exitum regis ad bellum, unus est quum ad jus dicendum exit; tum totum diem in audiendo transigit, etiamvis hora adsit qua corpus curet (id quod strigilum perfrictione fit); simul enim et audit et a quattuor fricto-

ἐέων. Ἑτέρα δ' ἐστὶν ἡ ἐπὶ τὰς θυσίας ἔξοδος. Τρίτη δ' ἐπὶ θήραν βακχική τις, κύκλῳ γυναικῶν περικεχυμένων, ἔξωθεν δὲ τῶν δορυφόρων· παρεσχοίνισται δ' ἡ ὁδός· τῷ δὲ παρελθόντι ἐντὸς μέχρι γυναικῶν θάνατος· προηγοῦνται δὲ τυμπανισταὶ καὶ κωδωνοφόροι. Κυνηγετεῖ δ' ἐν μὲν τοῖς περιφράγμασιν ἀπὸ βήματος τοξεύων· παρεστᾶσι δ' ἔνοπλοι δύο ἢ τρεῖς γυναῖκες· ἐν δὲ ταῖς ἀφράκτοις θήραις ἀπ' ἐλέφαντος· αἱ δὲ γυναῖκες αἱ μὲν ἐφ' ἁρμάτων, αἱ δ' ἐφ' ἵππων, αἱ δὲ καὶ ἐπ' ἐλεφάντων, ὡς καὶ συστρατεύουσιν, ἠσκημέναι παντὶ ὅπλῳ.

[Ἔχει μὲν οὖν καὶ ταῦτα πολλὴν ἀήθειαν πρὸς τὰ παρ' ἡμῖν· ἔτι μέντοι μᾶλλον τὰ τοιάδε.] Φησὶ γὰρ τοὺς τὸν Καύκασον οἰκοῦντας ἐν τῷ φανερῷ γυναιξὶ μίσγεσθαι, καὶ σαρκοφαγεῖν τὰ τῶν συγγενῶν σώματα. Πετροκυλιστὰς δ' εἶναι κερκοπιθήκους κτλ. (v. fr. 30). Deinde apud Strabonem sequitur fr. 25.

28.

Athenæus IV, p. 153, D: Μεγασθένης ἐν τῇ δευτέρᾳ τῶν Ἰνδικῶν τοῖς Ἰνδοῖς φησιν ἐν τῷ δείπνῳ παρατίθεσθαι ἑκάστῳ τράπεζαν, ταύτην δ' εἶναι ὁμοίαν ταῖς ἐγγυθήκαις· καὶ ἐπιτίθεσθαι ἐπ' αὐτῇ τρυβλίον χρυσοῦν, εἰς ὃ ἐμβαλεῖν αὐτοὺς πρῶτον μὲν τὴν ὄρυζαν ἑφθήν, ὡς ἄν τις ἑψήσειε χόνδρον, ἔπειτα ὄψα πολλὰ κεχειρουργημένα ταῖς Ἰνδικαῖς σκευασίαις. De cœnis cf. fr. 22, 3. Cum nostro loco componendum Daimachi fr. 4.

29.

Strabo II, p. 70: Ἅπαντες μὲν τοίνυν οἱ περὶ τῆς Ἰνδικῆς γράψαντες ὡς ἐπὶ τὸ πολὺ ψευδολόγοι γεγόνασι, καθ' ὑπερβολὴν δὲ Δηίμαχος· τὰ δὲ δεύτερα λέγει Μεγασθένης· Ὀνησίκριτος δὲ καὶ Νέαρχος καὶ ἄλλοι τοιοῦτοι παραψελλίζοντες ἤδη. Καὶ ἡμῖν δ' ὑπῆρξεν ἐπὶ πλέον κατιδεῖν ταῦτα, ὑπομνηματιζομένοις τὰς Ἀλεξάνδρου πράξεις· διαφερόντως δ' ἀπιστεῖν ἄξιον Δηιμάχῳ τε καὶ Μεγασθένει. Οὗτοι γάρ εἰσιν οἱ τοὺς Ἐνωτοκοίτας καὶ τοὺς Ἀστόμους καὶ Ἄρρινας ἱστοροῦντες, Μονοφθάλμους τε καὶ Μακροσκελεῖς καὶ Ὀπισθοδακτύλους· ἀνεκαίνισαν δὲ καὶ τὴν Ὁμηρικὴν τῶν Πυγμαίων γερανομαχίαν, τρισπιθάμους εἰπόντες· οὗτοι δὲ καὶ τοὺς χρυσωρύχους μύρμηκας καὶ Πᾶνας σφηνοκεφάλους ὄφεις τε καὶ ἐλάφους σὺν κέρασι καταπίνοντας· περὶ ὧν ἕτερος τὸν ἕτερον ἐλέγχει, ὅπερ καὶ Ἐρατοσθένης φησίν. Ἐπέμφθησαν μὲν γὰρ εἰς τὰ Παλίμβοθρα, ὁ μὲν Μεγασθένης πρὸς Σανδρόκοττον, ὁ δὲ Δηίμαχος πρὸς Ἀλλιτροχάδην τὸν ἐκείνου υἱὸν κατὰ πρεσβείαν· ὑπομνήματα δὲ τῆς ἀποδημίας κατέλιπον τοιαῦτα, ὑφ' ἡσδήποτε αἰτίας προαχθέντες. Πατροκλῆς δὲ ἥκιστα τοιοῦτος· καὶ οἱ ἄλλοι δὲ μάρτυρες οὐκ ἀπίθανοι, οἷς κέχρηται ὁ Ἐρατοσθένης.

30.

Strabo XV, p. 711: Ὑπερεκπίπτων δ' ἐπὶ τὸ μυθῶδες πεντασπιθάμους ἀνθρώπους λέγει καὶ τρισπιθάμους, ὧν τινας ἀμύκτηρας, ἀναπνοὰς ἔχοντας μόνον δύο ὑπὲρ τοῦ στόματος· πρὸς δὲ τοὺς τρισπιθάμους πόλεμον εἶναι ταῖς γεράνοις (ὃν καὶ Ὅμηρον δηλοῦν) καὶ τοῖς πέρδιξιν, οὓς χηνομεγέθεις εἶναι· τούτους δ' ἐκλέγειν αὐτῶν τὰ ᾠὰ καὶ φθείρειν· ἐκεῖ γὰρ ᾠοτοκεῖν τὰς γεράνους· διόπερ μηδαμοῦ μηδ' ᾠὰ εὑρίσκεσθαι γεράνων, μήτ' οὖν νεόττια· πλειστάκις δ' ἐκπίπτειν γέρανον

---

ribus perfricatur. Alius exitus est ad sacrificia; tertius ad venationem, in quo, Bacchico more, maxima mulierum caterva circumfunditur, mulierum vero turba exterius cingitur satellibus; porro funibus via ab utroque latere circumscripta est: quodsi quis intus ad mulieres usque progreditur, interficitur. Præcedunt regem tympana et tintinnabula. Quum in locis septis venatur, e solio sagittat, assistentibus ei duabus tribusve mulieribus armatis; quum in locis apertis venatur, sagittat ab elephante; mulieres vero partim curribus partim equis vel elephantis vehuntur, sicuti etiam militiæ intersunt omne armorum genus tractare edoctæ.

Hæc certe cum nostris comparata valde sunt insolentia: magis vero etiam sequentia. Etenim Caucasi habitatores inquit in aperto cum mulieribus coire et cognatorum carnibus vesci, atque cercopithecos esse saxa devolventes.

28.

Megasthenes secundo libro rerum Indicarum scribit, apud Indos in cœna unicuique apponi mensam similem repositoriis vasorum; ei imponi catinum aureum, in quem injiciatur primum oryza cocta, velut apud nos alica coquitur, tum vero multa obsonia Indicis scitamentis parata.

29.

Sane quicunque de India scripserunt, pleraque mentiti sunt: præ reliquis Deimachus, proxime Megasthenes; Onesicritus denique et Nearchus aliique tales jam vel balbutiunt. Quod nobis plenius perspicere contigit, quum de rebus Alexandri faceremus commentarium. Præcipue autem fides Deimacho est et Megastheni deroganda. Hi enim sunt qui Aurincubos (*in auribus cubantes*), Ore-carentes, Naribus-carentes, Unoculos, Longipedes, Digitis-retroaversis-præditos referunt: renovarunt etiam Homericam Pygmæorum contra grues pugnam, trium spithamarum iis staturam assignantes: iidem narrant formicas aurum effodientes, Panas căpita cunei forma habentes, serpentes etiam qui boves et cervos cum cornibus deglutiant; atque de his alter alterum redarguit, quod commemorat etiam Eratosthenes. Missi enim fuerunt legati Palimbothra, Megasthenes ad Sandrocottum, Deimachus ad filium ejus Allitrochaden, talesque suarum peregrinationum commentarios nescio qua de causa reliquerunt. Patrocles vero minime eorum similis est, neque reliqui leves sunt testes, quibus utitur Eratosthenes.

30.

Prolapsus deinde in fabulas Megasthenes ait homines quosdam esse quinque, alios trium spithamarum, quorum nonnulli naso careant et duo tantum spiramenta supra os habeant: cum trispithamis grues pugnare (quod et Home-

χαλκῆν ἔχουσαν ἀκίδα ἀπὸ τῶν ἐκεῖθεν πληγμάτων. Ὅμοια δὲ καὶ τὰ περὶ τῶν Ἐνωτοκοιτῶν καὶ τῶν ἀγρίων ἀνθρώπων καὶ ἄλλων τερατωδῶν. Τοὺς μὲν οὖν ἀγρίους μὴ κομισθῆναι παρὰ Σανδρόκοττον· ἀποκαρτερεῖν γάρ (*)· ἔχειν δὲ τὰς μὲν πτέρνας πρόσθεν, τοὺς δὲ ταρσοὺς ὄπισθεν καὶ τοὺς δακτύλους. Ἀστόμους δέ τινας ἀχθῆναι, ἀνθρώπους ἡμέρους· οἰκεῖν δὲ περὶ τὰς πηγὰς τοῦ Γάγγου· τρέφεσθαι δ' ἀτμαῖς ὀπτῶν κρεῶν καὶ καρπῶν καὶ ἀνθέων ὀσμαῖς, ἀντὶ τῶν στομάτων ἔχοντας ἀναπνοάς· χαλεπαίνειν δὲ τοῖς δυσώδεσι, καὶ διὰ τοῦτο περιγίνεσθαι μόλις καὶ μάλιστα ἐν στρατοπέδῳ. Περὶ δὲ τῶν ἄλλων διηγεῖσθαι τοὺς φιλοσόφους Ὠκύποδάς τε ἱστοροῦντας ἵππων μᾶλλον ἀπιόντας· Ἐνωτοκοίτας δὲ ποδήρη τὰ ὦτα ἔχοντας, ὡς ἐγκαθεύδειν, ἰσχυροὺς δ' ὥστ' ἀνασπᾶν δένδρα καὶ ῥήττειν νευράν· Μονομμάτους δὲ ἄλλους, ὦτα μὲν ἔχοντας κυνὸς, ἐν μέσῳ δὲ τῷ μετώπῳ τὸν ὀφθαλμὸν, ὀρθοχαίτας, λασίους τὰ στήθη· τοὺς δὲ Ἀμύκτηρας εἶναι παμφάγους, ὠμοφάγους, ὀλιγοχρονίους, πρὸ γήρως θνήσκοντας· τοῦ δὲ στόματος τὸ ἄνω προχειλότερον εἶναι πολύ. Περὶ δὲ τῶν χιλιετῶν Ὑπερβορέων τὰ αὐτὰ λέγειν Σιμωνίδῃ καὶ Πινδάρῳ καὶ ἄλλοις μυθολόγοις. [Μῦθος δὲ καὶ τὸ ὑπὸ Τιμαγένους λεχθὲν, ὡς ὅτι χαλκὸς ὕοιτο σταλαγμοῖς χαλκοῖς καὶ σύροιτο. Ἐγγυτέρω δὲ πίστεώς φησιν ὁ Μεγασθένης, ὅτι οἱ ποταμοὶ καταφέροιεν ψῆγμα χρυσοῦ, καὶ ἀπ' αὐτοῦ φόρος ἀπάγοιτο τῷ βασιλεῖ· τοῦτο γὰρ καὶ ἐν Ἰβηρίᾳ συμβαίνει.]

Cf. Gellius IX, 4 : *Esse in montibus terræ Indiæ homines caninis capitibus et latrantibus; eosque vesci avium et ferarum venatibus : atque esse item alia apud ultimas orientis terras miracula homines, qui monocoli appellantur, singulis cruribus saltuatim currentes vivacissimæ pernicitatis : quosdam etiam esse nullis cervicibus, oculos in humeris habentes. Jam vero egreditur omnem modum admirationis, quod iidem illi scriptores gentem esse aiunt apud extrema Indiæ corporibus hirtis et avium ritu plumantibus, nullo cibatu vescentem, sed spiritu florum naribus hausto victitantem : Pygmæos quoque haud longe ab his nasci; quorum qui longissimi sint, non longiores esse quam pedes duo et quadrantem.*

(*) « *Hos in alio non spirare cælo, ideoque ad finitimos reges non pertrahi* » Bæton (fr. 3) ap. Plin. VII, 2, 2.

31.

Plinius VII, 2, 14 : *In monte, cui nomen est Nulo* (*Nullo* v. l.), *homines esse aversis plantis, octonos digitos in singulis habentes, auctor est Megasthenes.* (15) *In multis autem montibus genus hominum capitibus caninis ferarum pellibus velari, pro voce latratum edere, unguibus armatum venatu et aucupio vesci. [Horum supra centum viginti millia fuisse prodente se Ctesias* (fr. 76) *scribit, et in quadam gente Indiæ feminas semel in vita parere genitosque confestim canescere*, etc.]

32.

Solinus. 52, 36 : *Ad montem, qui Nulo dicitur, habitant, quibus adversæ plantæ sunt et octoni digiti in plantis singulis. Megasthenes per diversos Indiæ montes esse scribit nationes capitibus caninis, armatas unguibus, amictas vestitu tergorum, ad sermonem humanum nulla voce sed latratibus tantum sonantes, asperis rictibus. [Apud Ctesiam legitur, quasdam feminas ibi semel parere natosque canos illico fieri*, etc.]

33.

Plinius VII, 2, 18 : *Megasthenes gentem inter Nomadas Indos narium loco foramina tantum habentem, anguium modo loripedem, vocari Scyritas. Ad extremos fines Indiæ ab oriente circa fontem Gangis Astomorum gentem sine ore, corpore toto hirtam vestiri frondium lanugine, halitu tantum viventem et odore, quem naribus trahant. Nullum iis cibum nullumque potum : tantum radicum florumque varios odores et silvestrium malorum, quæ*

---

rus significaverit), nec non perdices, quibus anserum sit magnitudo. Homines vero illos avium istarum ova legere et abolere; in his enim regionibus grues nidificare; quare alibi nuspiam neque ova gruum neque pullos reperiri : sæpe etiam gruem istis regionibus evolasse, quæ æneam cuspidem haberet infixam, accepto illic in prœliis ictu. Similia sunt quæ de Enotocœtis (*qui auribus suis incumbunt*), de feris hominibus, aliisque monstris dicuntur. Feros quidem homines ad Sandrocottum non esse adductos, quoniam extra regionem suam non sustineant vitam; eos calces antrorsum, plantas et digitos pedum retro aversos habere. Adductos vero fuisse quosdam Ore-carentes, mites homines, qui circa Gangis ortum habitent, et vaporibus assarum carnium, et fructuum et florum odoribus enutriantur, et pro ore spiracula quædam habeant : hos rebus fœtidis oppido gravari, ideoque vitam ægre tolerare, præsertim in castris. Præter hos de aliis permultis philosophos exposuisse, narrantes Ocypodes esse, qui cursu equos prævertant, et Enotocœtas, qui aures ad talos usque dependentes habeant, quibus indormiant, adeo fortes ut arbores evellant et nervum rumpant; alios esse Unoculos, caninis auribus et crinibus erectis, pectore hispido, habentes oculum in media fronte; eos qui naso carent voraces esse et cruda edere et parvo tempore viventes ante senectutem exstingui; iisdem superius oris labium supra alterum longe prominere. De Hyperboreis, qui mille annos vivunt, illos eadem dicere quæ dicant Simonides et Pindarus et alii fabularum scriptores. [Fabula etiam est, quod Timogenes dicit, æneis guttis pluere, quas in acervos colligant. Propinquius veritati est, quod refert Megasthenes flumina auri ramenta deferre, ex quibus regi tributum advehatur : id enim etiam in Iberia contingit.]

secum portant longiore itinere, ne desit olfactus : graviore paulo odore haud difficulter exanimari.

19. *Supra hos extrema in parte montium Trispithami Pygmæique narrantur, ternas spithamas longitudine, hoc est, ternos dodrantes non excedentes, salubri cælo semperque vernante, montibus ab aquilone oppositis : quos a gruibus infestari Homerus quoque prodidit. Fama est, insidentes arietum caprarumque dorsis, armatos sagittis veris tempore universo agmine ad mare descendere et ova pullosque earum alitum consumere : ternis expeditionem eam mensibus confici, aliter futuris gregibus non resisti. Casas eorum luto pennisque et ovorum putaminibus construi.* [*Aristoteles in cavernis vivere Pygmæos tradit : cetera de his, ut reliqui.*]

22. [*Ctesias* (fr. 81) *gentem ex his, quæ appelletur Pandore, in convallibus sitam, annos ducenos vivere, in juventa candido capillo, qui in senectute nigrescat. Contra alios quadragenos non excedere annos junctos Macrobiis, quorum feminæ semel pariant : idque et Agatharchides tradit; præterea locustis eos ali et esse pernices.*] *Mandorum* (*Pandarum* Schwanb.) *nomen iis dedit Clitarchus et* M e g a s t h e n e s, *trecentosque eorum vicos annumerat. Feminas septimo ætatis anno parere, senectam quadragesimo accidere.*

34.

Plutarch. De fac. in luna c. 24, p. 988, B (p. 1148 Didot) : Τὴν μὲν γὰρ Ἰνδικὴν ῥίζαν, ἥν φησι Μ ε γ α σ θ έ ν η ς μήτ' ἐσθίοντας μήτε πίνοντας ἀλλ' ἀστόμους ὄντας ὑποτύφειν καὶ θυμιᾶν καὶ τρέφεσθαι τῇ ὀσμῇ, πόθεν ἄν τις ἐκεῖ φυομένην λάβοι μὴ βρεχομένης τῆς σελήνης;

Recensitis, quæ Megasthenes de populis Indicis tradit, utile et jucundum subjicere quæ de his docet Schwanbeckius p. 65 sqq. « Primum Megasthenes narravit hoc : Τοὺς τὸν Καύκασον οἰκοῦντας ἐν τῷ φανερῷ γυναιξὶ μίσγεσθαι καὶ σαρκοφαγεῖν τὰ τῶν συγγενῶν σώματα (fr. 27 extr.). Herodotus quoque alterum de Calatiis et Padæis (III, 38. 99), alterum de alio quodam Indico populo narravit (III, 101). Idem Marcus Paulus (III, 17) retulit, et adhuc gens in Vind'ja monte habitans cognatos comedere dicitur. Cf. Ritter. *Asien* II, 519. Itaque pro certo sumendum est, hanc rem Megastheni re vera narratam esse, quamvis conjicere liceat, in describenda gentis aboriginis immanitate Indos, sicut solent, modum et veritatem excessisse.

Duris refert Phocionem ridentem nec flentem ab ullo Atheniensium temere conspectum fuisse, nec in balneo pu-

περιβεβλημένος· ἐπεὶ κατά γε τὴν χώραν καὶ τὰς στρατείας ἀνυπόδητος ἀεὶ καὶ γυμνὸς ἐβάδιζεν, εἰ μὴ ψῦχος ὑπερβάλλον εἴη καὶ δυσκαρτέρητον, ὥστε καὶ παίζοντας ἤδη τοὺς στρατευομένους (συστρ. conj. Gent.) σύμβολον μεγάλου ποιεῖσθαι χειμῶνος ἐνδεδυμένον Φωκίωνα. Cf. Plutarch. Apophthegm. p. 187, F.

23. (Ol. 115, 3; a. C. 318 ?)

Id. ibid. c. 17 : Ὁ γοῦν Δοῦρις εἴρηκεν, ὡς μέγας γενόμενος (Ἀλέξανδρος) καὶ Δαρείου κρατήσας ἀφεῖλε τῶν ἐπιστολῶν τὸ Χαίρειν, πλὴν ἐν ὅσαις ἔγραφε Φωκίωνι, τοῦτον δὲ μόνον, ὥσπερ Ἀντίπατρον, μετὰ τοῦ Χαίρειν προσηγόρευε. Τοῦτο δὲ καὶ Χάρης ἱστόρηκε (fr. 46).

Cf. Ælian. V. H. I, 25. Damnatus Phocion Ol. 115, 3. Diodor. XVIII, 67.

24. (Ol. 115, 4; a. C. 317.)

Athenæus XIII, p. 560, F : Δοῦρις δ' ὁ Σάμιος καὶ πρῶτον γενέσθαι πόλεμόν φησι δύο γυναικῶν, Ὀλυμπιάδος καὶ Εὐρυδίκης· ἐν ᾧ τὴν μὲν βακχικώτερον μετὰ τυμπάνων προελθεῖν, τὴν δ' Εὐρυδίκην Μακεδονικῶς καθωπλισμένην, ἀσκηθεῖσαν τὰ πολεμικὰ παρὰ Κυννάνῃ τῇ Ἰλλυρίδι. Cf. Droysen. l. l. p. 244 sqq.

25. (Ol. 116, 1. a. C. 316.)

Strabo I, p. 60 : Δοῦρις δὲ τὰς Ῥάγας (Ῥαγάδας vgo) τὰς κατὰ Μηδίαν ὠνομάσθαι φησὶν ὑπὸ σεισμῶν ῥαγείσης τῆς περὶ τὰς Κασπίας πύλας γῆς, ὥστε ἀνατραπῆναι πόλεις συχνὰς καὶ κώμας καὶ ποταμοὺς ποικίλας μεταβολὰς δέξασθαι. Cf. Strabo XI, p. 539. Sedem fragmenti indicat Diodor. XIX, 44, ubi v. Wesseling.

26. (Ol. 116, 2; a. C. 315.)

E LIBRO DECIMO QUINTO.

Schol. Apoll. Rh. IV, 264 : Δοῦρις δὲ ἐν πέμπτῳ καὶ δεκάτῳ τῶν Μακεδονικῶν, Ἀρκάδα φησὶν, ἀφ' οὗ ἡ Ἀρκαδία καλεῖται, Ὀρχομενοῦ υἱόν· διὸ καὶ πόλιν τῆς Ἀρκαδίας Ὀρχομενόν.

In schol. Aldin. in Aristoph. Nub. 397 hæc transtulit Musurus, ubi pro πόλιν perperam habes ποταμόν. Ceterum cf. Aristotelis fr. 89. — Fragmentum ad captam a Cassandro Orchomenum bene retulit Hullemanus.

27.

E LIBRO DECIMO SEXTO.

Athenæus XII, p. 542, C : Δημήτριος δὲ ὁ Φαληρεὺς, ὥς φησι Δοῦρις ἐν τῇ ἑκκαιδεκάτῃ τῶν Ἱστοριῶν, χιλίων καὶ διακοσίων ταλάντων κατ' ἐνιαυτὸν κύριος γενόμενος, καὶ ἀπὸ τούτων βραχέα δαπανῶν εἰς τοὺς στρατιώτας καὶ τὴν τῆς πόλεως διοίκησιν, τὰ λοιπὰ πάντα διὰ τὴν ἔμφυτον ἀκρασίαν ἠφάνιζε, θοίνας τε καθ' ἑκάστην ἡμέραν λαμπρὰς ἐπιτελῶν, καὶ πλῆθός τι συνδείπνων ἔχων· καὶ ταῖς μὲν δαπάναις ταῖς εἰς τὰ δεῖπνα τοὺς Μακεδόνας ὑπερέβαλε, τῇ δὲ καθαριότητι Κυπρίους καὶ Φοίνικας· ῥάσματά τε μύρων ἔπιπτεν ἐπὶ τὴν γῆν, ἀνθινά τε τὰ πολλὰ τῶν ἐδαφῶν ἐν τοῖς ἀνδρῶσι κατεσκευάζετο, διαπεποικιλμένα ὑπὸ δημιουργῶν. Ἦσαν δὲ καὶ πρὸς γυναῖκας ὁμιλίαι σιωπώμεναι, καὶ νεανίσκων ἔρωτες νυκτερινοὶ, καὶ ὁ τοῖς ἄλλοις τιθέμενος θεσμοὺς Δημήτριος, καὶ τοὺς βίους τάττων, ἀνομοθέτητον ἑαυτῷ τὸν βίον κατεσκεύαζεν. Ἐπεμελεῖτο δὲ καὶ τῆς ὄψεως, τήν τε τρίχα τὴν ἐπὶ τῆς κε-

---

blico lavantem, nec manum extra pallium, si eo amiciretur, exserentem; etenim ruri aut militiæ nudus semper et absque calceis incedebat, nisi frigus vehementissimum et intolerabile incidisset, ita ut per jocum etiam milites intensum gelu significari amicto Phocione dicerent.

23.

Duris auctor est Alexandrum, quum jam victo Dario magnus esset, in epistolis suis nemini Salutem ascripsisse, nisi si quas scripserit Phocioni : hunc unum pariter atque Antipatrum fuisse quos præmissa salute appellaret. Idem et Chares memoriæ prodidit.

24.

Duris Samius ait primum a mulieribus gestum bellum fuisse Olympiadis et Eurydices; in quo Olympiadem ait Bacchantis magis in morem cum tympanis esse progressam, Eurydicen vero Macedonico more armatam, ut quæ in rem bellicam etiam exercitata fuisset apud Cynnanen Illyricam.

25.

Duris Rhagas, quæ in Media sunt, nomen inde habere ait, quod terræ motibus rupta fuerit (ἐρράγη) terra apud Caspias portas, compluresque eversæ urbes et pagi, ac fluviorum variæ inciderint mutationes.

26.

Duris libro decimo quinto De rebus Macedonum ait Arcadem, a quo Arcadia nomen habet, Orchomeni filium esse; inde etiam urbem Arcadiæ Orchomenum.

27.

Demetrius Phalereus, ut Duris narrat Historiarum libro decimo sexto, quum mille et ducenta talenta quotannis ei redirent, exiguam hujus summæ partem in militum stipendia et in civitatis impendit administrationem, reliqua omnia pro insita sibi intemperantia profudit, epula quotidie splendida magno convivarum numero exhibens; et sumptu quidem in cœnas facto Macedonas superavit, elegantia vero Cyprios et Phœnices; et unguenta largiter in terram profundebantur, et multa in cœnaculis pavimenta tesselato opere florida et artificiose variegata erant. Erant vero etiam taciti cum mulieribus congressus, et juvenum amores nocturni; et qui aliis leges sumptuarias scribebat Demetrius vitamque eorum moderabatur, idem sibi ipse vitam elegerat

φαλῆς ξανθιζόμενος, καὶ παιδέρωτι τὸ πρόσωπον ὑπαλειφόμενος, καὶ τοῖς ἄλλοις ἀλείμμασιν ἐγχρίων ἑαυτόν· ἠβούλετο γὰρ τὴν ὄψιν ἱλαρὸς καὶ τοῖς ἀπαντῶσιν ἡδὺς φαίνεσθαι. Ἐν δὲ τῇ πομπῇ τῶν Διονυσίων, ἣν ἔπεμψεν ἄρχων γενόμενος (Ol 117, 4), ᾖδε χορὸς εἰς αὐτὸν ποιήματα Σειρώμενος τοῦ Σολέως, ἐν οἷς ἡλιόμορφος προσηγορεύετο·

Ἐξόχως δ' εὐγενέτας ἡλιόμορφος ζαθέοις
ἄρχων σε τιμαῖς γεραίρει.

Hinc sua Ælianus V. H. IX, 9, ex parte perperam mutata. Vide Perizonium l. l. — « Mille ducenta talenta quotannis in fiscum rediisse dubitat Grauert. *Hist. u. Phil. Annal.* p. 134, laudans Bœckhium *Staatsh.* I, p. 465 sqq. Cf. Droysen. *Gesch. d. Nachf. Alex.* p. 430. » HULLEMANN. — Σειρώμενος] Leopardi recte haud dubie reponi jubet Κασταρίωνος (poetæ Solensis, quem memorat Athenæus X, p. 454, F). Σείρωνος conj. Hulleman.

28.

Schol. Eurip. Alc. 254 ad verba νυμφίδιαί τε κοῖται πατρῴας Ἰωλκοῦ]... Μαρτυρεῖ καὶ Δοῦρις ἐν τῇ ις' τῶν Μακεδονικῶν, ὅτι ἐν Ἰωλκῷ ἐνυμφεύθη (Alcestis). Ἰωλκοῦ γὰρ Πελίας ἐβασίλευσεν. — Μακ.] libri Λακεδαιμονικῶν; emend. vir d. in *Quaterly Rev.* vol. XV, n. 29. Simili modo apud schol. Pind. Pyth. IX, 89 laudatur Φαῖστος ὁ τὰ Μακεδονικὰ γράψας, quod rectissime Bœckhius mutavit in Φ. ὁ τὰ Λακεδαιμονικὰ γρ.

Schol. Apoll. Rh. I, 211: Δοῦρις δ' ἐξ Ὑπερβορέων (sc. Ζήτην καὶ Καλαῒν συμπλεῦσαι τοῖς Ἀργοναύταις φησίν). Vid. Herodor. fr. 42, p. 36. Cum Duride facit Phanodicus in Δηλιακοῖς ap. schol. Apoll. l. l.

29.

E LIBRO DECIMO SEPTIMO.

Athenæus IV, p. 155, C: Δοῦρις δ' ὁ Σάμιος ἐν τῇ τῶν Ἱστοριῶν ἑπτακαιδεκάτῃ Πολυσπέρχοντά φησιν, εἰ μεθυσθείη, καίτοι πρεσβύτερον ὄντα, ὀρχεῖσθαι, οὐδενὸς Μακεδόνων ὄντα δεύτερον οὔτε κατὰ τὴν στρατηγίαν, οὔτε κατὰ τὴν ἀξίωσιν, καὶ ἐνδυόμενον αὐτὸν κροκωτὸν, καὶ ὑποδούμενον Σικυώνια, διατελεῖν ὀρχούμενον.

30. (Ol. 119, 3; a. C. 302.)

E LIBRO VICESIMO SECUNDO.

Athenæus IV, p. 253, D: Ὁ μὲν οὖν Δημοχάρης (fr. 3) τοσαῦτα εἴρηκε περὶ τῆς Ἀθηναίων (in Demetrium Poliorc.) κολακείας· Δοῦρις δ' ὁ Σάμιος ἐν τῇ δευτέρᾳ καὶ εἰκοστῇ τῶν Ἱστοριῶν καὶ αὐτὸν τὸν ἰθύφαλλον·

Ὡς οἱ μέγιστοι τῶν θεῶν καὶ φίλτατοι
τῇ πόλει πάρεισιν.
Ἐνταῦθα γὰρ Δήμητρα καὶ Δημήτριον
ἅμα παρῆγ' ὁ καιρός.
Χὴ μὲν τὰ σεμνὰ τῆς Κόρης μυστήρια
ἔρχεθ' ἵνα ποιήσῃ,
ὁ δ' ἱλαρὸς, ὥσπερ τὸν θεὸν δεῖ, καὶ καλὸς
καὶ γελῶν πάρεστι.
Σεμνὸν, ὅθι φαίνεθ', οἱ φίλοι πάντες κύκλῳ,
ἐν μέσοισι δ' αὐτὸς,
ὅμοιος ὥσπερ οἱ φίλοι μὲν ἀστέρες,
ἥλιος δ' ἐκεῖνος.
Ὦ τοῦ κρατίστου παῖ Ποσειδῶνος θεοῦ,
χαῖρε, κἀφροδίτης.

---

nullis legibus astrictam. Sed etiam formæ erat curiosus, ut qui crinem capitis flavo colore tingeret, et faciem pæderote oblineret, aliisque unguentis sese inungeret: volebat enim aspectu hilaris et venustus videri occurrentibus. In pompa vero Dionysiorum, quam ducebat quum archon esset Athenis, cecinit in eum chorus carmen Siromenis (*Castorionis*) Solensis in quo *Solis instar formosus* adpellabatur:

Eminenter vero generosus
Solis instar formosus divinioribus
archon te (Bacchum) honoribus decorat. »

28.

Duris quoque in libro decimo sexto De rebus Macedonum testatur Iolci Alcestin esse desponsatam. Iolci enim Pelias rex erat.

Ex Hyperboreis Zeten et Calain una cum Argonautis navigasse Duris ait.

29.

Duris Samius Historiarum libro decimo septimo scribit Polysperchontem, ubi appotus esset, quamvis ætate grandiorem, saltare solitum, quum nemini Macedonum neque rei militaris peritia cederet, neque dignitate; et croceam vestem calceosque Sicyonios indutum, saltare non desiisse.

30.

Hæc Demochares dixit de Atheniensium adulatione. Duris vero Samius, secundo et vicesimo Historiarum, ipsum etiam Ithyphallicum carmen apposuit:

Deorum adeo maximi carissimique
visitant urbem!
Ecce enim, Demeter et Demetrius
opportune adsunt.
Et illa quidem severa Natæ mysteria
venit ut celebret.
At hic lætus, deum ut decet, et pulcher,
et ridens adest.
Augustum, ubi apparet, amici circum circa,
in eorum medio ipse:
Sidera minora diceres amicos,
ipsum Solem.
Salve, potentissimi dei Neptuni
fili et Veneris!
Alii enim aut absunt dii longius,
aut auribus carent;

Ἄλλοι μὲν ἢ μακρὰν γὰρ ἀπέχουσιν θεοὶ
ἢ οὐκ ἔχουσιν ὦτα,
ἢ οὐκ εἰσὶν, ἢ οὐ προσέχουσιν ἡμῖν οὐδὲ ἕν·
σὲ δὲ παρόνθ' ὁρῶμεν,
οὐ ξύλινον, οὐδὲ λίθινον, ἀλλ' ἀληθινόν.
Εὐχόμεσθα δή σοι·
πρῶτον μὲν εἰρήνην ποίησον, φίλτατε·
κύριος γὰρ εἶ σύ.
Τὴν δ' οὐχὶ Θηβῶν, ἀλλ' ὅλης τῆς Ἑλλάδος
Σφίγγα περικρατοῦσαν,
Αἰτωλὸς ὅστις ἐπὶ πέτρας καθήμενος,
ὥσπερ ἡ παλαιὰ,
τὰ σώμαθ' ἡμῶν πάντ' ἀναρπάσας φέρει,
κοὐκ ἔχω μάχεσθαι,
(Αἰτωλικὸν γὰρ, ἁρπάσαι τὰ τῶν πέλας,
νῦν δὲ καὶ τὰ πόρρω·)
μάλιστα μὲν δὴ κόλασον αὐτός· εἰ δὲ μὴ,
Οἰδίπουν τιν' εὑρὲ,
τὴν Σφίγγα ταύτην ὅστις ἢ κατακρημνιεῖ,
ἢ σπίνον ποιήσει.

Ταῦτ' ᾖδον οἱ Μαραθωνομάχαι οὐ δημοσίᾳ μόνον, ἀλλὰ καὶ κατ' οἰκίαν, οἱ τὸν προσκυνήσαντα τὸν Περσῶν βασιλέα ἀποκτείναντες, οἱ τὰς ἀναρίθμους μυριάδας τῶν βαρβάρων φονεύσαντες.

31.

Athenæus XII, p. 535, E : Δοῦρις δ' ἐν τῇ δευτέρᾳ καὶ εἰκοστῇ τῶν Ἱστοριῶν « Παυσανίας μὲν (φησὶν) ὁ τῶν Σπαρτιατῶν βασιλεὺς, καταθέμενος τὸν πάτριον τρίβωνα, τὴν Περσικὴν ἐνεδύετο στολήν. Ὁ δὲ Σικελίας τύραννος Διονύσιος ξυστίδα καὶ χρυσοῦν στέφανον ἐπὶ περόνῃ μετελάμβανε τραγικόν. Ἀλέξανδρος δ', ὡς τῆς Ἀσίας ἐκυρίευσε, Περσικαῖς ἐχρῆτο στολαῖς. Δημήτριος δὲ πάντας ὑπερέβαλλε. Τὴν μὲν γὰρ ὑπόδεσιν, ἣν εἶχε, κατεσκεύαζεν ἐκ πολλοῦ δαπανήματος· ἦν γὰρ κατὰ μὲν τὸ σχῆμα τῆς ἐργασίας σχεδὸν ἐμβάτης, πίλημα λαμβάνων τῆς πολυτελεστάτης πορφύρας· τούτῳ δὲ χρυσοῦ πολλὴν ἐνύφαινον ποικιλίαν ὀπίσω καὶ ἔμπροσθεν ἐνιέντες οἱ τεχνῖται. Αἱ δὲ χλαμύδες αὐτοῦ ἦσαν ὄρφνινον ἔχουσαι τὸ φέγγος τῆς χρόας, τὸ δὲ πᾶν ὁ πόλος ἐνύφαντο, χρυσοῦς ἀστέρας ἔχων καὶ τὰ δώδεκα ζώδια. Μίτρα δὲ χρυσόπαστος ἦν, ἣ καυσίαν ἁλουργῆ οὖσαν ἔσφιγγεν, ἐπὶ τὸ νῶτον φέρουσα τὰ τελευταῖα καταβλήματα τῶν ὑφασμάτων. Γινομένων δὲ τῶν Δημητρίων Ἀθήνησιν, ἐγράφετο ἐπὶ τοῦ προσκηνίου ἐπὶ τῆς οἰκουμένης ὀχούμενος. » Cf. Plutarch. Demetr. c. 41. — ἐπὶ περόνῃ] καὶ ἐπιπόρπημα conj. Hulleman. ; ἐπιπερόνημα, novo vocabulo, Geelius.

32.

E LIBRO VICESIMO TERTIO.

Athenæus XII, p. 546, C : Καὶ Δοῦρις δέ φησιν ἐν τῇ εἰκοστῇ τρίτῃ τῶν Ἱστοριῶν, ὡς ἦν τὸ παλαιὸν τοῖς δυνάσταις ἐπιθυμία τῆς μέθης. Διὸ ποιεῖν τὸν Ὅμηρον τῷ Ἀγαμέμνονι λοιδορούμενον τὸν Ἀχιλλέα καὶ λέγοντα (Il, A, 225),

Οἰνοβαρὲς, κυνὸς ὄμματ' ἔχων.

Καὶ τὸν θάνατον δὲ ἀποσημαίνων τοῦ βασιλέως, φησὶν (Od. Λ, 418),

Ὡς ἀμφὶ κρητῆρα τραπέζας τε πληθούσας
κείμεθα·

---

aut nulli sunt, aut non curant nos quidquam.
Te videmus præsentem,
non ligneum, non lapideum, sed vere ipsum.
Quare te precamur :
primum da pacem nobis, carissime!
tu enim potes :
tum hanc, quæ non Thebas, totam sed Græciam
territat, Sphingem ;
Ætolum hunc, in rupe qui sedes habens,
ut illa prisca olim,
res nostras hominesque rapiens aufert ;
nec reprimere ego queo :
(Ætolicum est enim, vicina abducere,
nunc vero etiam remota.)
tu maxime ipse perdomes velim : quod ni,
at Œdipum mitte,
qui vel de saxo monstrum illud deturbet,
vel inedia tollat.

Hæc cecinere illi olim victores in campo Marathonio ; nec id publice solum, sed et privatim in domibus; iidem qui morte mulctaverant eum, qui coram rege Persarum se prostraverat; hi qui innumeras illas barbarorum myriades interfecerant.

31.

Duris secundo et vicesimo Historiarum libro scribit : « Pausanias Spartanorum rex deposito patrio palliolo, Persicam induit stolam. Siciliæ tyrannus Dionysius pallam scenicam et auream coronam cum fibula (?) sumpsit tragicam. Alexander, postquam Asiam subegit, Persicis usus est stolis. Sed cunctos superavit Demetrius. Nam calceamenti genus, quo ille usus est, ingenti sumptu erat paratum : quippe quoad fabricæ formam fere cothurnus erat, e coacta purpura (*sive*, coacta lana purpurea) pretiosissima paratus, cui multam ex auro varietatem, tam a parte posteriore, quam ab anteriore, inserebant intexebantque artifices. Chlamydes ejus fuscum quendam habebant coloris nitorem : et, ut verbo dicam, cœli polus eis intextus erat, cum aureis stellis et duodecim signis. Porro fascia erat auro distincta, quæ pileum purpureum ita astringebat, ut tæniarum extremæ fimbriæ in tergum dependerent. Quumque Athenis Demetriorum solennitas celebraretur, in proscenio pictus erat Demetrius, orbi terrarum insidens.

32.

Duris tertio et vicesimo Historiarum libro ait jam olim reges et terrarum dominos ad temulentiam fuisse proclives : itaque apud Homerum Achillem conviciari Agamemnoni, dicereque,

Vino gravis, caninos oculos habens;

et de morte regis loquens ait :

Ut circa craterem mensasque plenas
jacebamus :

δεικνύων καὶ τὸν θάνατον αὐτοῦ παρ' αὐταῖς ταῖς ἐπιθυμίαις τῆς μέθης γενόμενον.

33. (Ol. 124, 4; a. C. 271.)

Plinius H. N. VIII, 40 : *Canis, Iasone Lycio interfecto, cibum capere noluit, inediaque consumptus est. Is vero, cui nomen Hyrcani reddidit Duris, accenso regis Lysimachi rogo, injecit se flammæ : similiterque Hieronis regis.*

Ex Duride hauserit Plutarch. De sollert. anim. p. 970; alium auctorem sequitur Appian. Syr. c. 64 (p. 207 ed. Didot.). Cf. Tzetz. Hist. IV, 131, v. 252 sqq.

ΤΑ ΠΕΡΙ ΑΓΑΘΟΚΛΕΑ.

34.

E LIBRO SECUNDO.

Athenæus XIV, p. 628, B : « Λίβυν δὲ τὸν αὐλὸν προσαγορεύουσιν οἱ ποιηταὶ (φησὶ Δοῦρις ἐν δευτέρῳ τῶν Περὶ Ἀγαθοκλέα), ἐπειδὴ Σειρίτης, ὃς δοκεῖ πρῶτον εὑρεῖν τὴν αὐλητικὴν, Λίβυς ἦν τῶν Νομάδων, ὃς καὶ κατηύλησε τὰ μητρῷα πρῶτος. »

« Tibiam simul cum cultu Palladis e Libya Athenas esse delatam tradunt Proclus ad Platon. Alcib. I, p. 197 sq. et Olympiodor. p. 65 sqq. « HULLEMAN. Sirites aliunde vix notus.

35. (Ol. 118, 1 a C. 308.)

Schol. Aristoph. Vesp. 1030 : Δοῦρις δ' ἐν β' Λιβυκῶν ἱστορεῖ, γυναῖκα καλὴν γενέσθαι τὴν Λάμιαν, μιχθέντος δὲ αὐτῇ Διὸς, ὑφ' Ἥρας ζηλοτοπουμένην ἃ ἔτικτεν ἀπολλύναι· διόπερ ἀπὸ τῆς λύπης δύσμορφον γεγονέναι, καὶ τὰ τῶν ἄλλων παιδία ἀναρπάζουσαν διαφθείρειν. Eadem Photius v. Λάμια et Arsen. p. 332; Suidas s. v.; Favorinus p. 1152 ed. Basil.; Apostol. XI, 75. Locum fragmenti indicat narratio Diodori XX, 41. Cf. schol. Arist. Pac. 757; Eudocia p. 274; Aristides p. 19 Frommel.; Plutarch. Moral. p. 515 F; Philostrat. V. Ap. IV, p. 165; schol. Apoll. Rh. IV, 328; Steph. Thes. v. Λάμια; Krüger. Historiogr. p. 73.

36.

Tzetzes Lyc. 847 : Τινὲς δέ φασιν ἐν Λιβύῃ εἶναι τὰς πηγὰς τοῦ Νείλου, ὡς Δοῦρις· ἀλλ' οὐκ ἔστι τοῦτο ἀληθές.

37. (Ol. 119, 2; a. C. 303.)

E LIBRO TERTIO.

Athen. XIII, p. 605, D : Ἐμοὶ μὲν γὰρ καὶ κατὰ φύσιν δοκεῖ πεποιηκέναι Κλεώνυμος ὁ Σπαρτιάτης, πρῶτος ἀνθρώπων εἰς ὁμηρείαν λαβὼν παρὰ Μεταποντίνων γυναῖκας, παρθένους τὰς ἐνδοξοτάτας καὶ καλλίστας διακοσίας, ὡς ἱστορεῖ Δοῦρις ὁ Σάμιος ἐν τῇ τρίτῃ τῶν Περὶ Ἀγαθοκλέα ἱστοριῶν. Vide Diodor. XX, 104, 3.

38.

E LIBRO QUARTO.

Suidas : Εὐρύβατος· πονηρὸς, ἀπὸ τοῦ πεμφθέντος ὑπὸ Κροίσου ἐπὶ ξενολογίᾳ μετὰ χρημάτων, ὥς φησιν Ἔφορος (fr. 100), εἶτα μεταβαλλομένου πρὸς Κῦρον· ἦν δὲ Ἐφέσιος. Οἱ δὲ τὸν Κέρκωπα τὸν ἕτερον. Διότιμος Ἡρακλέους ἄθλοις· « Κέρκωπες, τοὶ πολλὰ κατὰ τριόδους πατέοντες Βοιωτῶν σίνοντο· γένος δ' ἔσαν Οἰχιαλῆες, Ὠλός τ' Εὐρύβατός τε, δύω βαρυδαίμονες ἄνδρες. » Νίκανδρος Αἰγίνεον Εὐρύβατον πανουργότατον· οὗ μνημονεύει Ἀριστοτέλης ἐν α' Περὶ δικαιοσύνης. Δοῦρις δὲ ἐν δ' τῶν Περὶ Ἀγαθοκλέα ἀπὸ τοῦ Ὀδυσσέως ἑταίρου. Reliqua apud ipsum Suidam legas. — Petita hæc sunt, suspicor, ex narratione de iis, quæ in Italia postremo regni tempore gessit Agathocles contra

---

ostendens periisse eum etiam, quo tempore eidem cupiditati temulentiæ indulgebat.

DE REBUS AGATHOCLIS.

34.

Libycam tibiam vocant poetæ, ut ait Duris libro secundo De rebus Agathoclis, quoniam Sirites, qui perhibetur primus invenisse artem tibia canendi, Libycus fuerat e Nomadibus : qui etiam carmina in Matrem Deorum primus cecinit.

35.

Duris libro secundo, ubi de Agathoclis rebus in Libya gestis sermonem facit, Lamiam fuisse narrat mulierem formosam; sed Jove cum ea congresso, quum Junonis invidià exagitata liberos amisisset, præ mœrore deformem evasisse, aliorumque infantes raptos occidere solere.

36.

Nonnulli dicunt in Libya esse Nili fontes, uti Duris. At falsum hoc est.

37.

Mihi etiam secundum naturam fecisse Cleonymus Spartanus videtur, qui primus hominum obsides accepit a Metapontinis mulieres, virgines nobilissimas formosissimasque ducentas, ut Duris Samius narrat tertio libro Historiarum De rebus Agathoclis.

38.

Eurybatus, homo nequam; ductum hoc ab eo Eurybato, qui a Crœso cum pecunia missus ad milites mercede conducendos, ut ait Ephorus, deinde ad Cyrum defecit. Erat autem Ephesius. Alii eum alterum Cercopum fuisse aiunt. Diotimus in Herculis laboribus : « Cercopes qui in triviis Bœotorum frequenter versantes multis nocebant. Hi genere erant Œchialenses, nomine Olus et Eurybatus, ambo viri perniciosissimi. » Nicander Ægineum Eurybatum callidissimum fuisse tradit : cujus meminit Aristoteles in primo De justitia. Duris vero libro quarto De rebus ab Agathocle gestis ab Ulyxis socio proverbium repetit.

Bruttios, Crotoniatas etc. Nam constat Ulyssi ejusque sociis apud κτίσεων scriptores haud minimas esse partes in fabulis de urbium Italicarum originibus. Sic Strabo VI, p. 255, ut unum afferam, de Polite narrat Ulyssis socio, qui Brutiis δαίμων βαρύμηνις fuerit. Simile quid Duris tradidisse videtur de Eurybato, qui ap. Homer. Od. τ, 247 sqq. uti deformis homo et tantum non πιθηκόμορφος et κέρκωψ depingitur. Cercopes in Pithecusis insulis collocavit Xenagoras (Π. νήσων) ap. Harpocrat. v. Κέρκωψ. Ac satis antiquo tempore ἄνδρας istos βαρυδαίμονας Italiotis et Siculis notos fuisse artis monumentis comprobatur (v. Welcker. *Cycl.* p. 409, n. 659; Müller. *Dor.* II, p. 457 not.). Fieri etiam potuit ut occasionem de his exponendi præberent Pithecusæ Libyæ urbes, simiarum cultu claræ, quas Eumachus, dux Agathoclis, in potestatem redegit. V. Diodor. XX, 58, 3. — ἦν δὲ Ἐφέσιος] Notandum est Ephesi etiam Cercopum sedem fuisse. Zenobius I, 5, e cod. B p. 2 ed. Leutsch : Ἀγορὰ Κερκώπων· ἐπὶ τῶν πονηρῶν καὶ κακοήθων λέγεται. Κέρκωπες γὰρ ἀπατεῶνές τινες ἐγένοντο ἐν Ἐφέσῳ, οἵτινες ἐξαπατῆσαι τὸν Δία πεπείρανται. Cf. Lobeck. Aglaopham. p. 1305 sqq.

39.

Schol. Apoll. Rh. I, 501 : Δοῦρίς φησι τοὺς ὑπὸ τῶν γιγάντων κατενεχθέντας λίθους, τοὺς μὲν εἰς τὴν θάλασσαν πεσόντας γενέσθαι νήσους, τοὺς δὲ εἰς τὴν γῆν ὄρη.

Fortasse Phlegræis campis Italiæ Gigantomachiam Duris assignavit. Allata juncta esse poterant iis, quæ de Pithecusis et Ætnæo Typhoni superinjectis feruntur.

40. (Ol. 121, 2; a. C. 295.)

Diodor. XXI, 6 : Ἐπὶ τοῦ πολέμου τῶν Τυρρηνῶν καὶ Γαλατῶν καὶ Σαμνιτῶν καὶ τῶν ἑτέρων συμμάχων, ἀνῃρέθησαν ὑπὸ Ῥωμαίων, Φαβίου ὑπατεύοντος, δέκα μυριάδες, ὥς φησι Δοῦρις.

Tzetzes ad Lyc. 1378 : Γράφει δὲ τοιοῦτόν τι (quale Codrus facinus ediderat) Δοῦρις, Διόδωρος καὶ Δίων, ὅτι Σαυνιτῶν, Τυρρηνῶν καὶ ἑτέρων ἐθνῶν πολεμούντων Ῥωμαίοις ὁ Δέκιος ὕπατος Ῥωμαίων, συστρατηγὸς ὢν Τορκουάτου, οὕτως ἔδωκεν ἑαυτὸν εἰς σφαγὴν, καὶ ἀνῃρέθησαν τῶν ἐναντίων ἑκατὸν χιλιάδες αὐθημερόν.

Τορκουάτου] debebat *Q. Fabii Maximi.* Error est Tzetzæ, qui Decium filium cum patre, T. Manlii Torquati collega, confundit, monente Hullemano. — ἑκατὸν χιλιάδες] Liv. X, 29 : *Cæsa eo die hostium viginti quinque millia, octo capta.*

41. (Ol. 121, 4; a. C. 293.)

Athenæus XII, p. 542, A : Δοῦρις δ' ἐν τῇ δ' τῶν Περὶ Ἀγαθοκλέα, καὶ πλησίον Ἱππωνίου πόλεως ἄλσος τι δείκνυσθαι, κάλλει διάφορον καὶ κατάρρυτον ὕδασιν, ἐν ᾧ καὶ τόπον τινὰ εἶναι καλούμενον Ἀμαλθείας κέρας, ὃ τὸν Γέλωνα κατασκευάσαι.

ἐν τῇ δ'] sic bene Hulleman. pro vulgata ἐν τῇ δεκάτῃ. Capta urbs Ol. 124, 4, teste Diodoro XXI, 8. Strabo VI, p. 256 : Ἔχει δ' ἐπίνειον, ὃ κατεσκεύασέ ποτε Ἀγαθοκλῆς κρατήσας τῆς πόλεως. « Illa opportunitate, opportune monet Hullemanus, conjicio Duridem de luco narrasse. »

42.

Tzetzes ad Lyc. 772 : Δοῦρις ὁ Σάμιος ἐν τῷ Περὶ Ἀγαθοκλέους φησὶ τὴν Πηνελόπην συγγενέσθαι πᾶσι τοῖς μνηστῆρσι καὶ γεννῆσαι τραγοσκελῆ Πᾶνα. Φλυαρεῖ δὲ περὶ τοῦ Πανός· ὁ Πᾶν γὰρ Ἑρμοῦ καὶ Πηνελόπης ἄλλης γέγονε, καὶ ἕτερος Πᾶν Διὸς καὶ Ὕβρεως. Cf. Eudocia p. 323, quæ eadem ac Duris affert.

43.

Argum. Idyll. Theocr. VI, p. 10 ed. Dübner. : Δοῦρίς (Οὖρις libri) φησιν, διὰ τὴν τῶν θρεμμάτων πολυπλήθειαν καὶ τοῦ γάλακτος ἱδρύσασθαι (sc. Πολύφημον) ἱερὸν ἐν Αἴτνῃ τῇ Γαλατείᾳ. Φιλόξενον δὲ τὸν Κυθήριον ἐπιδημήσαντα, καὶ μὴ δυνάμενον ἐπινοῆσαι

39.

Duris dicit, lapides a Gigantibus dejectos, quot eorum in mare deciderint, insulas, quot in terram, montes evasisse.

40.

In bello Etruscorum, Gallorum, Samnitum, ceterorumque sociorum, a Romanis, Fabio consule, deleta sunt centum millia, ut Duris testatur.

Simile quid (facinori Codri) Duris, Diodorus et Dio narrant. Samnitis, Etruscis aliisque populis bellum gerentibus contra Romanos, Decium consulem, collegam Torquati (*Q. Fabii Maximi*), eodem modo (*quo Codrus olim*) semet morti dedicasse, eodemque die centum millia hostium interfecta esse.

41.

Duris libro quarto De rebus Agathoclis ait prope Hipponium oppidum nemus monstrari eximia pulchritudine aquis irriguum : in eoque esse locum quendam Amaltheæ cornu appellatum, a Gelone exstructum.

42.

Duris Samius in Agathoclis Historia Penelopen ait cum omnibus (πᾶσι) procis rem habuisse, atque peperisse eis *Panem* capripedem. At hariolatur Duris; nam Pan filius erat Mercurii et alius Penelopæ. Alterque est Pan Jovis et Lasciviæ filius.

43.

Duris dicit propter pecorum multitudinem et lactis copiam Galateæ in Ætna fanum a Polyphemo sacratum esse.

τὴν αἰτίαν, ἀναπλάσαι, ὅτι Πολύφημος ἤρα Γαλατείας. Quæ repetuntur in schol. l. l. v. 7, ubi pro Δοῦρις libri exhibent Θοῦρις. De Galatea Philoxeni v. Bode. *Gesch. d. gr. Dichtk.* II, 2, 317 sqq.

44.

Athenæus I, p. 19, F: Ἐθαυμάζετο δὲ καὶ Ξενοφῶν ὁ θαυματοποιὸς, ὃς μαθητὴν κατέλιπε Κρατισθένη τὸν Φλιάσιον· ὃς πῦρ τε αὐτόματον ἐποίει ἀναφύεσθαι, καὶ ἄλλα πολλὰ φάσματα ἐτεχνᾶτο, ἀφ' ὧν ἐξίστα τῶν ἀνθρώπων τὴν διάνοιαν. Τοιοῦτος ἦν καὶ Νυμφόδωρος ὁ θαυματοποιὸς, ὃς προσκρούσας Ῥηγίνοις, ὥς φησι Δοῦρις, εἰς δειλίαν αὐτοὺς ἔσκωψε πρῶτος.

Hinc sua Eustath. ad Odyss. p. 1503. Nymphodorus ὁ θαυματοποιός (non confundendus cum Nymphodoro τῷ θαυματογράφῳ) idem esse videtur cum eo, cujus Athenæus meminit lib. X, p. 452, F. Si recte se habet illud ἔσκωψε πρῶτος, N. antiquior fuit Xenarcho, Sophronis filio, mimo, qui item εἰς δειλίαν κωμῳδῆσαι τοὺς Ῥηγίνους dicitur ap. Zenob. V, 83, ubi vide quæ a vv. dd. congesta sunt.

45.

Athenæus XI, p. 504, B: Ὁ τοὺς μίμους πεποιηκὼς (Σώφρων), οὓς ἀεὶ διὰ χειρὸς ἔχειν Δοῦρίς φησι τὸν σοφὸν Πλάτωνα. Res a multis memoratur. V. Diogen. L. III, 1, 18, ibique Menag.

46.

Stephan. Byz.: Ἀκράγαντες, πόλεις πέντε Σικελίας, ἀπὸ ποταμοῦ παραρρέοντος· φησὶ γὰρ Δοῦρις, ὅτι αἱ πλεῖσται τῶν Σικελῶν πόλεων ἐκ τῶν ποταμῶν ὀνομάζονται, Συρακούσας, Γέλαν, Ἱμέραν, Σελινοῦντα καὶ Φοινικοῦντα καὶ Ἐρύκην καὶ Κάμικον, Ἁλυκόν τε καὶ Θέρμον καὶ Καμαρῖναν, ὡς καὶ ἐν Ἰταλίᾳ.

Φοινικοῦντα] de hac urbe nil constat. — Ἁλυκὸν καὶ Θέρμον] pro urbium nominibus nomina fluviorum posuisse videtur excerptor. V. Berkel. ad h. l.

ΣΑΜΙΩΝ ὩΡΟΙ.

47.

Athenæus XII, p. 525, E: Περὶ δὲ τῆς Σαμίων τρυφῆς Δοῦρις ἱστορῶν παρατίθεται Ἀσίου ποιήματα, ὅτι ἐφόρουν χλιδῶνας περὶ τοῖς βραχίοσι καὶ τὴν ἑορτὴν ἄγοντες τῶν Ἡραίων ἐβάδιζον κατεκτενισμένοι τὰς κόμας ἐπὶ τὸ μετάφρενον καὶ τοὺς ὤμους. Τὸ δὲ νόμιμον τοῦτο μαρτυρεῖσθαι καὶ ὑπὸ παροιμίας τῆσδε, Βαδίζειν Ἡραῖον ἐμπεπλεγμένον. Ἔστι δὲ τὰ τοῦ Ἀσίου ἔπη οὕτως ἔχοντα·

Οἱ δ' αὔτως φοίτεσκον, ὅπως πλοκάμους κτενίσαιντο,
εἰς Ἥρης τέμενος, πεπυκασμένοι εἵμασι καλοῖς·
χιονίοισι χιτῶσι πέδον χθονὸς εὐρέος εἶχον·
χαῖτας δ' ἠωρεῦντ' ἀνέμῳ χρυσέοις ἐνὶ δεσμοῖς·
χρύσειαι δὲ κόρυμβαι ἐπ' αὐτῶν τέττιγες ὥς·
δαιδάλεοι δὲ χλιδῶνες ἄρ' ἀμφὶ βραχίοσιν * *
* * * * ἤσαντες ὑπασπίδιον πολεμιστήν.

De versuum corruptelis et lacunis adi Dübnerum ad Asii fragm. 11. Ceterum cf. Panofka *Res Sam.* p. 80.

48.

Steph. Byz: Αὐασίς, πόλις Αἰγύπτου. Ταύτην δὲ καὶ Ὄασιν καλοῦσιν.... Ἡρόδοτος δὲ καὶ Δοῦρις Μακάρων αὐτὴν ὠνόμασαν νῆσον.

Herodot. III, 26: ἀπικόμενοι (milites Cambysæ) ἐς Ὄασιν πόλιν, τὴν ἔχουσι μὲν Σάμιοι τῆς Αἰσχριώνης φυλῆς λεγόμενοι εἶναι, ubi Bæhr.: « Panofka l. l. p. 81 sqq. de Samiorum tribubus disputans tribus partibus in quas Sami civitatem Polycrates diviserit (v. Herod. III, 39) respondisse videri monuit has tribus tres, quarum binæ (Σχησία et Ἀστυπαλαία) memorantur ab Etym. M. p. 160, 22, tertia Herodoti sit Αἰσχριωνία, ab Æschrione heroe,

---

Philoxenum vero, quum in Sicilia degens causam rei reperire non posset, Polyphemi et Galateæ amores finxisse.

44.

Admirati sunt etiam Xenophontem præstigiatorem, qui discipulum reliquit Cratisthenem Phliasium, qui sponte exoriri ignem faciebat, aliaque multa spectra artificioso invento ostendebat. Talis etiam Nymphodorus erat, præstigiator, qui, quum Rheginis esset offensus, ut Duris scribit, ignaviam illis cum risu primus exprobravit.

45.

Sophronis Mimos Platonem semper in manu habere solitum esse Duris tradit.

46.

Agrigenti nomen est quinque urbibus Siciliæ, a flumine præterlabente. Dicit enim Duris plurimas urbium Sicularum a fluminibus denominatas esse, Syracusas, Gelam, Himeram, Selinuntem, Phœnicuntem, Erycem, Camicum, Halycum, Thermum, Camarinam; et similiter in Italia.

SAMIORUM ANNALES.

47.

De Samiorum luxu verba faciens Duris apponit Asii versus, ex quibus patet gestasse illos armilla circa brachia, et festum Junonis agentes incedere solitos esse coma depexa et in cervicem et humeros rejecta. Ejusdemque moris documentum, ait Duris, esse etiam proverbium hoc, *incedere Junonium implexis capillis.* Sunt autem Asii versus hujusmodi:

Hi vero procedebant, quum primum cincinnos depexerant,
in Junonis templum, induti amiculis pulchris:
niveis tunicis solum latæ terræ tenebant;
et capilli vento agitabantur sub aureis vinculis,
aureique corymbi superne erant cicadis similes,
et affabre factæ armillæ circa brachia...
. . . . clypeo tectum bellatorem.

48.

Auasis, urbs Ægypti, quam etiam Oasin vocant. Herodotus vero et Duris Beatorum insulam appellant.

ad quem auctorem tribus referatur, sic appellata. Si vero cum viro docto (Ideler., *Fundgruben des Orients* IV, p. 418) quæras, quo pacto Samii isti in hanc Oasin devenerint, num a Persis illuc traducti illo ex more, quo gentes victæ alias prorsus in regiones haud raro transferebantur, an potius ipsi illuc profecti mercandi causa sedesque ibi figentes : malim hoc ipsum statuere, præsertim quum Samiorum res navalis et mercatura jam Ol. 37 maxime floreret, ut vel Tartessum venirent. Quo eodem ferme tempore illos in Oasim majorem venire potuisse, haud quidem ab omni probabili abhorret. Tu cf. Müller. Æginet. p. 67. » Nisi fallor etiam in Arabia Samii nonnulli consederant. V. fragm. Castoris p. 179 not. De nominibus Ὄασις et Μακάρων νῆσος v. quæ multa congessit Bæhr. l. l.

49.

Zenob. Prov. V, 64 : Πολυκράτης μητέρα νέμει. Μέμνηται ταύτης Δοῦρις. Λέγει δὲ ὅτι Πολυκράτης ὁ Σάμιος τῶν ἐν τῷ πολέμῳ ἀποθανόντων τὰς μητέρας συναγαγὼν δέδωκε τοῖς πλουσίοις τῶν πολιτῶν τρέφειν, πρὸς ἕκαστον λέγων ὅτι· Μητέρα σοι ταύτην δίδωμι. Ὅθεν ἡ παροιμία ἐκράτησεν.

« Omisso Duridis nomine, inde a voce Πολυκράτης hæc scripta exstant in Proverbiis quæ dicuntur Plutarchi I, 58, p. 329 sq. et Cod. Bodl. 779, p. 95. Cives illi, quorum matres Samii locupletiores acceperunt nutriendas, bello ceciderunt, quod contra Cyrum regem gessit Polycrates, circa Ol. LX. Conf. Panofka l. l. p. 34 sq. » HULLEMAN.

49 a.

Steph. Byz. : Γόργυια, τόπος ἐν Σάμῳ, ὡς ἱστορεῖ Δοῦρις, ἐν ᾧ Διονύσιος Γοργυιεὺς (Γοργορεὺς cod. Vratisl.) τιμᾶται.

Cf. Etym. M. Γόργυρος, ὁ Διόνυσος, ἀπὸ Γοργύρας, τόπου τῆς Σάμου. Hinc apud Stephan. Hulleman. scripsit Γοργύρα... Γοργυρεύς. Recte, puto, quamquam dubitat Dindorf. in St. Thesaur. s. v. Etenim γοργύρα Sami *urbis* est δεσμωτήριον ὑπόγαιον (vide v. Γοργύρα in Steph. Thes.), cujus sæpius meminit Herodotus III, 145, ubi loquitur de Mæandrio Samiorum tyranno, qui Charilaum fratrem in γοργύραν istam conjecerat. Ex eadem historia noster locus peti potuit. Quare huc fragmentum retuli. Prope carcerem statua Dionysi vel fanum fuerit. Subtilior Hullemanus, qui de Dionyso χθονίῳ cogitari vult. Conferre potuisset Gorgyram, Acherontis uxorem, matrem Ascalaphi ap. Apollod. I, 5, 3.

50. (c. Ol. 60.)

E LIBRO SECUNDO.

Schol. Eurip. Hec. 915 : Δοῦρις ἐν τῷ β′ τῶν Ὥρων γράφει οὕτως, ὡς ὑπὸ Αἰγινητῶν πειρατευόμενοι Ἀθηναῖοι στρατείαν κατ᾽ αὐτῶν ἀποστέλλουσιν, οἱ δὲ ἅμα Σπαρτιάταις (Ἀργείοις Herodot.) ἅπαντας ἀπέκτειναν. Εἷς δὲ ὑπέστρεψεν ἄγγελος, ὃν περιστᾶσαι τῶν τεθνεώτων αἱ γυναῖκες καὶ τὰς περόνας τῶν ὤμων ἀφελόμεναι ἐξετύφλωσαν, εἶτα ἀπέκτειναν. Οἱ δὲ Ἀθηναῖοι δεινὸν ἡγησάμενοι τὸ πραχθὲν, περιεῖλον τῶν γυναικῶν τὰς περόνας, ἐπείπερ εἰς ὅπλισμὸν αὐταῖς ἐχρήσαντο, καὶ οὐ πρὸς φυλακὴν τῆς ἀμπεχόνης. Αὐτοί τε ἐκόμων, αἱ δὲ γυναῖκες ἐκείροντο, καὶ τοῖς μὲν ἀνδράσι ποδήρεις ἦσαν οἱ χιτῶνες, αἱ δὲ γυναῖκες ἐβρύαζον ταῖς Δωρίαις στολαῖς. Διὸ γυμνὰς καὶ τὰς ἀχίτωνας Δωριάζειν ἔφασαν.

Historiam fusius et paullo aliter narrat Herodotus V, 82-88, ubi v. Bæhr. et quos laudat. — ἐν τῷ β′] recte procul dubio Hullemanus pro vulg. ἐν τῷ ιβ′. Postrema (αὐτοί τε κτλ.) cum antecedentibus cohæsisse aliquo modo, liquet ex Herodoto c. 88, ubi Athenienses, ne fibulis mulieres amplius uterentur, Doricum earum vestitum in Ionicum mutasse dicuntur. Quæ apud scholiasten nunc leguntur, aperte sunt male excerpta et truncata.

51.

Diogenes L. I, 119 : Φησὶ δὲ Δοῦρις ἐν τῷ δευτέρῳ τῶν Ὥρων ἐπιγεγράφθαι αὐτῷ (Φερεκύδει) τὸ ἐπίγραμμα τόδε·

> Τῆς σοφίης πάσης ἐν ἐμοὶ τέλος· ἢ δέ τι πάσχω,
> Πυθαγόρῃ τῷ 'μῷ λέγε ταῦθ᾽, ὅτι πρῶτος ἁπάντων
> ἐστὶν ἀν᾽ Ἑλλάδα γῆν. Οὐ ψεύδομαι ὧδ᾽ ἀγορεύων.

49.

Polycrates matrem distribuit. Hujus proverbii Duris meminit, Polycratem Samiorum tyrannum narrans cæsorum bello militum matres collectas civium ditioribus alendas tradidisse, singulisque dixisse : « Hanc tibi matrem tribuo. » Unde ortum proverbium.

49 a.

Gorgyra, locus Sami urbis, ut Duris narrat, in quo Bacchus Gorgyreus honoratur.

50.

Duris Annalium libro secundo narrat hæc : Athenienses, ait, ab Æginetarum piratis vexati milites contra eos emittunt, quos Æginetæ eorumque socii Lacedæmonii cunctos occiderunt. Unus tamen evasit, quem nuntium cladis circumsistentes mulieres cæsorum, arreptis ex humeris vestium fibulis excæcarunt ac deinde interfecerunt. Quod quum flagitiose factum esse Athenienses censerent, ademerunt mulieribus fibulas, quandoquidem non ad custodiam indumenti iis, sed armorum loco uterentur. Ac viri comam alebant, mulieres vero tondebantur; porro viris talares erant tunicæ, mulieres vero in Doriis stolis exsultabant. Quare nudas et tunica non indutas δωριάζειν dicebant.

51.

Refert Duris in secundo Annalium inscriptum tumulo Pherecydis hoc epigramma :

> Tota suam nacta est in me sapientia summam.
> Eveniat si quid mihi, Pythagoræ memorate :
> Hellados est terræ longe princeps. Rata dico.

In Samo insula diem obiisse Pherecydem narrat Heraclid. Ponticus fr. 10; idem statuerit Duris. Subjungimus quæ de aliis quibusdam sapientibus ex iisdem haud dubie Annalibus traduntur.

52.

Idem I, 22 : Ἦν τοίνυν ὁ Θαλῆς, ὡς μὲν Ἡρόδοτος καὶ Δοῦρις καὶ Δημόκριτός φασιν, πατρὸς μὲν Ἐξαμύου, μητρὸς δὲ Κλεοβουλίνης, ἐκ τῶν Θηλιδῶν, οἵ εἰσι Φοίνικες, εὐγενέστατοι τῶν ἀπὸ Κάδμου καὶ Ἀγήνορος, καθὰ καὶ Πλάτων φησί... Ἐπολιτογραφήθη δὲ ἐν Μιλήτῳ, ὅτε ἦλθε σὺν Νειλέῳ ἐκπεσόντι Φοινίκης.

V. Herodot. I, 170. ibiq. interpr. — Ἐξαμύου] vg. Ἐξαμίου. V. Dindorf. in Steph. Thes. s. v. ἐπολιτογρ. κ. τ. λ.] « Hæc quoque Duridis esse conjicio ». *Hulleman*. De Nileo isto nihil constat.

53.

Diogen. L. I, 74 : Πιττακὸς, Ὑρραδίου, Μυτιληναῖος. Φησὶ δὲ Δοῦρις τὸν πατέρα αὐτοῦ Θρᾷκα εἶναι. Cf. Suidas : Πιττακὸς, υἱὸς Καϊκοῦ ἢ Ὑρραδίου (Ὕρρα Arsen. Violet. p 513) Θρᾳκὸς, μητρὸς δὲ Λεσβίας.

54.

Diogen. L. I, 82 : Βίας Τευτάμου, Πριηνεύς... τοῦτον οἱ μὲν πλούσιον, Δοῦρις δὲ πάροικόν φησι γεγονέναι. Pro πλούσιον Gent. conj. πολίτην.

55.

Diogen. L. I, 89 : Κλεόβουλος, Εὐαγόρου, Λίνδιος· ὡς δὲ Δοῦρις, Κάρ.

56.

Porphyr. Vit. Pyth. §. 3 : Δοῦρις δ' ὁ Σάμιος ἐν δευτέρῳ τῶν Ὥρων παῖδά τ' αὐτοῦ ἀναγράφει Ἀρίμνηστον, καὶ διδάσκαλόν φησι γενέσθαι Δημοκρίτου. Τὸν δ' Ἀρίμνηστον κατελθόντ' ἀπὸ τῆς φυγῆς, χαλκοῦν ἀνάθημα τῷ ἱερῷ τῆς Ἥρας ἀναθεῖναι, τὴν διάμετρον ἔχον ἐγγὺς δύο πήχεων, οὗ ἐπίγραμμα ἦν ἐγγεγραμμένον τόδε·

Πυθαγόρεω φίλος υἱὸς Ἀρίμνηστός μ' ἀνέθηκε,
πολλὰς ἐξευρὼν εἰνὶ λόγοις σοφίας.

Τοῦτο δ' ἀνελόντα Σῖμον τὸν Ἁρμονικὸν καὶ τὸν κανόνα σφετερισάμενον ἐξενεγκεῖν ὡς ἴδιον· εἶναι μὲν οὖν ἑπτὰ τὰς ἀναγεγραμμένας σοφίας, διὰ δὲ τὴν μίαν, ἣν Σῖμος ὑφείλετο, συναφανισθῆναι καὶ τὰς ἄλλας τὰς ἐν τῷ ἀναθήματι γεγραμμένας.

Arimnestus fortasse idem quem reliqui dicunt Mnesarchum. De Democrito Arimnesti discipulo jure dubitabis. V. Glauci Rhegini fr. Quomodo postrema διὰ δὲ τὴν μίαν κ. τ. λ. intelligenda sint, mihi non liquet.

57.

Suidas : Πανύασις, Πολυάρχου, Ἁλικαρνασσεύς... Δοῦρις δὲ Διοκλέους τε παῖδα ἀνέγραψε καὶ Σάμιον· ὁμοίως καὶ Ἡρόδοτον Θούριον (sc. ἀνέγραψε vel ἀνέγραψαν). Vulgatam Ἡρόδοτος correx. Wesseling. Dissert. Herod. p. 9, probantibus Larchero (ad Herodot. I, 106), Heysio (De Herodot. p. 16), aliis, Hullemano.

58. (Ol. 84, 4; a. C. 441.)

Harpocratio : Ἀσπασία... Περικλέους φασὶν αὐτὴν διδάσκαλόν τε ἅμα καὶ ἐρωμένην εἶναι. Δοκεῖ δὲ δυοῖν πολέμων αἰτία γεγονέναι, τοῦ τε Σαμιακοῦ καὶ τοῦ Πελοποννησιακοῦ, ὡς ἔστι μαθεῖν παρά τε Δούριδος τοῦ Σαμίου καὶ Θεοφράστου ἐκ τοῦ δ' τῶν Πολιτικῶν καὶ ἐκ τῶν Ἀριστοφάνους Ἀχαρνέων. Eadem, non no-

---

52.

Thales, ut Herodotus, Duris et Democritus aiunt, patre Examyo, matre Cleobulina natus est, ex Thesidarum familia, qui Phœnicum nobilissimi a Cadmo et Agenore originem ducunt, Platone quoque teste... Mileti autem civitate donatus est, eo profectus cum Nileo ex Phœnice ejecto.

53.

Pittacus, Mytilenæus, Hyrrhadio patre, quem Thracem fuisse Duris auctor est.

54.

Bias, Teutami filius, Prienensis.. Hunc fuisse opulentem alii autumant, Duris vero in alienis ædibus habitasse testatur.

55.

Cleobulus, Evagoræ filius, Lindius, vel, ut Duris ait, Car.

56.

Duris Samius Annalium libro secundo filium Pythagoræ memorat Arimnestum, eumque magistrum dicit fuisse Democriti. Hunc vero Arimnestum ab exilio reversum, æreum donarium in templo Junonis dedicasse, duorum fere cubitûm diametrum habens, cui inscriptum hocce fuerit epigramma :

Qui tulit in lucem multa et præclara reperta.
gnatus Arimnestus Pythagoræ hoc posuit.

Simum autem Harmonicum hoc sustulisse atque canonem musicum sibi attribuisse et venditasse pro suo. Fuisse autem septem artes inscriptas; sed una a Simo sublata, ceteras quoque, quæ donario erant inscriptæ, fuisse deletas.

57.

Panyasis fuit Polyarchi filius, Halicarnassensis. Duris vero eum Dioclis filium dicit atque Samium, similiter atque Herodotum quoque non Halicarnassensem, sed Thurium appellat.

58.

Aspasiam Periclis magistram simul et amasiam fuisse dicunt. Eadem duorum bellorum, Samiaci et Peloponnesiaci, causa fuisse videtur, uti cognoscere licet e Duride Samio, et Theophrasti libro quarto Politicorum, et ex Acharnensibus Aristophanis.

minatis auctoribus, Suidas s. v. et Anecd. Bachmann. I, p. 153, 7. De Aspasia Samii belli causa v. Plutarch. Pericl. c. 25. De commento hoc comicorum nihil apud Thucydidem, nihil apud Diodorum.

59.

Photius Lex. v. Σαμίων ὁ δῆμός ἐστιν ὡς πολυγράμματος (versus ex Aristoph. Babyloniis fr. 43 ed. Didot.), postquam de ratione, qua vox πολυγράμματος intelligenda sit, Aristotelis (Sam. rep. fr. 181) et Andronis (in Tripode, fr. 7) sententias attulerat, pergit ita : Οἱ δὲ ὅτι Ἀθηναῖοι μὲν τοὺς ληφθέντας ἐν πολέμῳ Σαμίους ἔστιζον γλαυκὶ, Σάμιοι δὲ (sc. τοὺς ληφθέντας ἐν πολέμῳ Ἀθηναίους) σαμαίνῃ· ὅ ἐστι πλοῖον δίκροτον, ὑπὸ Πολυκράτους πρῶτον κατασκευασθὲν τοῦ Σαμίων τυράννου, ὡς Λυσίμαχος ἐν δευτέρῳ Νόστων. Τὸ δὲ πλάσμα Δούριδος.

Σάμιοι δὲ σ.] libri Σ. τῇ σ. Eadem Suidas s. h. v. et Apostol. Prov. XVII, 25. Γλαῦκα Samiis captivis inustam etiam Ælianus V. H. II, 9 dicit; aliter Plutarchus Pericl. 29 : οἱ δὲ Σάμιοι τοὺς αἰχμαλώτους τῶν Ἀθηναίων ἀνθυβρίζοντες ἔστιζον εἰς τὸ μέτωπον γλαῦκας· καὶ γὰρ ἐκείνους οἱ Ἀθηναῖοι σάμαιναν. Præpostere, sive auctoris sive scribarum sit lapsus. De σαμαίνης forma et usu plura Plutarch. l. l. ex Duride ut videtur. Cf. Hesych. v. Σαμ. δῆμος, et quos Hulleman. laudat, Ruhnk. in Opusc. tom. I, p. 433, Panofka Reb. Sam. p. 15, 69; Næke Chœril. p. 155 sqq. — « Τὸ δὲ πλάσμα Δούριδος, h. e. ἐσχεδίασται τοῦτο Δούριδι. Nam Bergkii conjectura τὸ δὲ κόλασμα Δ. quo valeat ignoro. » *Bernhardy* ad Suid. l. l. De Duride tyranno cogitaverit Bergk. Ceterum Duridem laudasse videtur Lysimachus.

60.

Plutarch. Pericl. c. 28 : Ἐνάτῳ δὲ μηνὶ τῶν Σαμίων παραστάντων ὁ Περικλῆς τὰ τείχη καθεῖλε, καὶ τὰς ναῦς παρέλαβε καὶ χρήμασι πολλοῖς ἐζημίωσεν· ὧν τὰ μὲν εὐθὺς ἤνεγκαν οἱ Σάμιοι, τὰ δ' ἐν χρόνῳ ῥητῷ ταξάμενοι κατοίσειν, ὁμήρους ἔδωκαν. Δοῦρις δ' ὁ Σάμιος τούτοις ἐπιτραγῳδεῖ, πολλὴν ὠμότητα τῶν Ἀθηναίων καὶ τοῦ Περικλέους κατηγορῶν, ἣν οὔτε Θουκυδίδης ἱστόρηκεν, οὔτ' Ἔφορος, οὔτ' Ἀριστοτέλης (fr. 67)· ἀλλ' οὐδ' ἀληθεύειν ἔοικεν, ὡς ἄρα τοὺς τριηράρχους καὶ τοὺς ἐπιβάτας τῶν Σαμίων εἰς τὴν Μιλησίων ἀγορὰν ἀγαγὼν, καὶ σανίσι προσδήσας ἐφ' ἡμέρας δέκα, κακῶς ἤδη διακειμένους προσέταξεν ἀνελεῖν, ξύλοις τὰς κεφαλὰς συγκόψαντας, εἶτα προβαλεῖν ἀκήδευτα τὰ σώματα. Δοῦρις μὲν οὖν οὐδ' ὅπου μηδὲν αὐτῷ πρόσεστιν ἴδιον πάθος, εἰωθὼς κρατεῖν τὴν διήγησιν ἐπὶ τῆς ἀληθείας, μᾶλλον ἔοικεν ἐνταῦθα δεινῶσαι τὰς τῆς πατρίδος συμφορὰς ἐπὶ διαβολῇ τῶν Ἀθηναίων.

61. (Ol. 91, 2.)

Cic. Epp. ad Att. VI, 1, 18 : *Quis non dixit*, Εὔπολιν τὸν τῆς ἀρχαίας, *ab Alcibiade, navigante in Siciliam, dejectum esse in mare? Redarguit Eratosthenes* (p. 229 ed. Bernhardy) : *affert enim, quas ille post id tempus fabulas docuerit. Num idcirco Duris* Samius, *homo in historia diligens, quod cum multis erravit, irridetur?*

Cf. Schol. Aristid. ap. Creuzerum ad Plotin. De pulchr. p. 465 : Λέγουσιν ὅτι ἐκωμῴδουν ὀνομαστὶ τοὺς ἄνδρας μέχρις Εὐπόλιδος. Περιεῖλε δὲ τοῦτο Ἀλκιβιάδης ὁ στρατηγὸς καὶ ῥήτωρ· κωμῳδηθεὶς γὰρ παρὰ Εὐπόλιδος, ἔρριψεν αὐτὸν ἐν τῇ θαλάττῃ ἐν Σικελίᾳ συστρατευόμενον, εἰπών·

Βάπτες μ' ἐν θυμέλῃσιν· ἐγὼ δέ σε κύμασι πόντου
βαπτίζων ὀλέσω νάμασι πικροτάτοις.

Cramer. Anecd. Ox. I, p. 7, 11 : Οἱ δὲ στρατιῶται συλλαμβάνοντες αὐτὸν, ὡς μέν τινες φασὶν, παντελῶς ἀπέπνιξαν εἰς τὴν θάλασσαν· ὡς δὲ ἄλλοι, δεδεμένον αὐτὸν σχοίνῳ ἀνῆγον εἰς τὴν θάλασσαν, οὐ μέντοι καὶ ἀπέπνιξαν παντελῶς. Plura v. ap. Meinekium Histor. crit. com. p. 106; Bode. *Gesch. d. Hell. Dichtk.* III, 2, p. 181 sqq.

62. (Ol. 91, 2 a. C. 415.)

Harpocratio : Ἀνδοκίδου Ἑρμῆς. Αἰσχίνης ἐν τῷ Κατὰ Τιμάρχου (§ 125)· « Ἔπειτα τὸν Ἑρμῆν τὸν Ἀνδοκίδου καλούμενον οὐκ Ἀνδοκίδου ἀλλ' Αἰγηίδος

59.

Alii *Samiorum populum multiliteratum* dici putant eo, quod Athenienses Samios bello captos signo noctuæ notarint, Samii vero Athenienses Samæna. Est autem Samæna navigium bireme a Polycrate Samiorum tyranno primum fabricatum, ut ait Lysimachus libro secundo Nostorum. Quod quidem commentum est Duridis.

60.

Nono mense, Samiis deditionem facientibus, muros dejecit Pericles, naves ademit, magnamque pecuniariam mulctam eis imperavit : quarum partem statim dependerunt, reliquum persoluturos intra certum tempus polliciti, obsides dederunt. Hic Duris Samius res tragico more exaggerat, magnæque Periclem et Athenienses crudelitatis insimulat : de qua neque Thucydides mentionem facit, neque Ephorus, neque Aristoteles, et quæ conficta videtur; nimirum a Pericle triremium præfectos classiariosque Samios in forum Mileti adductos, decemque dies ibi alligatos tabulis relictos, inde jam moribundos jussu ejus illisis in capita ipsorum lignis necatos, corpora insepulta projecta fuisse. Duris sane quum alias quoque, ubi nihil est in re quod ipsum attineat, non soleat narrationi ita moderari, ut ne a vero discrepet, hoc loco etiam amplius videtur calumnia petendorum Atheniensium causa patriæ suæ calamitatem exaggerasse.

62.

Andocidis herma. Æschines in oratione contra Timarchum : « Deinde Mercurium, qui Andocidis vocatur, non

φυλῆς εἶναι ἀνάθημα.» Καὶ αὐτὸς Ἀνδοκίδης ἐν τῷ Περὶ τῶν μυστηρίων ὅτι τῆς Αἰγηίδος εἴη τὸ ἀνάθημα εἴρηκεν, ὥστε ὁ Δοῦρις αὐτοσχεδιάζει Ἀνδοκίδου αὐτὸ εἶναι λέγων.

63. (Ol. 91, 2; a. C. 415.)

Plutarch. Agesil. c. 3: Βασιλεύοντος δ' Ἄγιδος ἧκεν Ἀλκιβιάδης ἐκ Σικελίας φυγὰς εἰς Λακεδαίμονα· καὶ χρόνον οὔπω πολὺν ἐν τῇ πόλει διάγων αἰτίαν ἔσχε τῇ γυναικὶ τοῦ βασιλέως Τιμαίᾳ συνεῖναι. Καὶ τὸ γεννηθὲν ἐξ αὐτῆς παιδάριον οὐκ ἔφη γινώσκειν ὁ Ἆγις, ἀλλ' ἐξ Ἀλκιβιάδου γεγονέναι. Τοῦτο δὲ οὐ πάνυ δυσκόλως τὴν Τιμαίαν ἐνεγκεῖν φησὶ Δοῦρις, ἀλλὰ καὶ ψιθυρίζουσαν οἴκοι πρὸς τὰς εἱλωτίδας Ἀλκιβιάδην τὸ παιδίον, οὐ Λεωτυχίδην, καλεῖν. Καὶ μέντοι καὶ τὸν Ἀλκιβιάδην αὐτὸν οὐ πρὸς ὕβριν φάναι τῇ Τιμαίᾳ πλησιάζειν, ἀλλὰ φιλοτιμούμενον βασιλεύεσθαι Σπαρτιάτας ὑπὸ τῶν ἐξ ἑαυτοῦ γεγονότων. Conf. Plutarch. De anim. tranq. p. 467, Lysandr. c. 22, Alcibiad. 23. Xenoph. Hellen. III, 3, 1. — εἱλωτίδας] Cf. Müller. *Dor.* II, 41.

64. (Ol. 93, 1; a. C. 408.)

Plutarch. Alcib. c. 32: Ὁ δ' Ἀλκιβιάδης, ἰδεῖν τε ποθῶν ἤδη τὰ οἴκοι καὶ ἔτι μᾶλλον ὀφθῆναι βουλόμενος τοῖς πολίταις νενικηκὼς τοὺς πολεμίους τοσαυτάκις ἀνήχθη, πολλαῖς μὲν ἀσπίσι καὶ λαφύροις κύκλῳ κεκοσμημένων τῶν Ἀττικῶν τριήρων, πολλὰς δ' ἐφελκόμενος αἰχμαλώτους, ἔτι δὲ πλείω κομίζων ἀκροστόλια τῶν διεφθαρμένων ὑπ' αὐτοῦ καὶ κεκρατημένων. Ἦσαν γὰρ οὐκ ἐλάττους συναμφότεραι διακοσίων. Ἃ δὲ Δοῦρις ὁ Σάμιος, Ἀλκιβιάδου φάσκων ἀπόγονος εἶναι, προστίθησι τούτοις, αὐλεῖν μὲν εἰρεσίαν τοῖς ἐλαύνουσι Χρυσόγονον τὸν Πυθιονίκην, κελεύειν δὲ Καλλιππίδην τὸν τῶν τραγῳδιῶν ὑποκριτήν, στατὸν καὶ ξυστίδα καὶ τὸν ἄλλον ἐναγώνιον ἀμπεχόμενον κόσμον, ἱστίῳ δ' ἁλουργῷ τὴν ναυαρχίδα προσφέρεσθαι τοῖς λιμέσιν, ὥσπερ ἐκ μέθης ἐπικωμάζοντος, οὔτε Θεόπομπος οὔτ' Ἔφορος οὔτε Ξενοφῶν γέγραφεν· οὔτ' εἰκὸς ἦν οὕτως ἐντρυφῆσαι τοῖς Ἀθηναίοις μετὰ φυγὴν καὶ συμφορὰς τοσαύτας κατερχόμενον. Ex Duride hauserit Athenæus XII, p. 535, C. Cf. Diodor. XIII, 68, ut mittam reliquos in re notissima. — Ἀλκιβιάδου φάσκων ἀπόγονος εἶναι] « Reputanti patria extorrem diu in Samo Alcibiadem egisse, castra etiam habuisse, attendenti maxime generis propinquitatem, quam Duridi scimus cum Alcibiadé intercessisse, mihi non absonum visum est, sed admodum probabile, in *Samiorum Annalibus* prolixius de Alcibiade fuisse narratum » *Hulleman*.

65. (Ol. 94, 1; a. C. 404.)

Plutarch. Lys. c. 18: Τότε (post pugnam ad Ægospotamos pugnatam) δ' οὖν ὁ Λύσανδρος ὅσον οὐδεὶς τῶν πρόσθεν Ἑλλήνων δυνηθεὶς ἐδόκει φρονήματι καὶ ὄγκῳ μείζονι κεχρῆσθαι τῆς δυνάμεως. Πρῶτον μὲν γάρ, ὡς ἱστορεῖ Δοῦρις, Ἑλλήνων ἐκείνῳ καὶ βωμοὺς αἱ πόλεις ἀνέστησαν ὡς θεῷ καὶ θυσίας ἔθυσαν, εἰς δὲ πρῶτον παιᾶνες ᾔσθησαν, ὧν ἑνὸς ἀρχὴν ἀπομνημονεύουσι τοιάνδε·

Τὸν Ἑλλάδος ἀγαθέας,
στραταγὸν ἀπ' εὐρυχόρου
Σπάρτας ὑμνήσομεν, ὦ,
ἰὴ Παιάν.

Σάμιοι δὲ τὰ παρ' αὐτοῖς Ἡραῖα Λυσάνδρια καλεῖν

---

esse Andocidis sed Ægeidis tribus donarium. » Et ipse Andocides in oratione De mysteriis dicit esse eum Ægeidis donarium. Hariolatur igitur Duris, qui eum Andocidis esse ait.

63.

Agide regnante Alcibiades ex Sicilia exul Lacedæmonem venit, neque diu ibi fuit, quum rumor exstitit, eum cum uxore Agidis rem habere. Filium quidem ex ea natum rex non agnovit suum esse, sed Alcibiadis esse dixit; neque id moleste admodum Timæam tulisse Duris scribit, domique ancillis nomen pueri non Leotychidam, sed Alcibiadem insusurrasse; Alcibiadem quoque dixisse, non libidinis causa se cum Timæa coiisse, verum id affectantem, ut Spartani ab ipsius prole regerentur.

64.

Alcibiades et videre jam desiderans patriam, et magis etiam videri se cupiens a civibus suis, quibus tot contra hostes peperisset victorias, Athenas revectus est cum classe; erant autem quum multis clypeis et spoliis undique exornatæ Atticæ triremes, tum magnum post se captivarum numerum trahebat, rostraque a se victarum et pessumdatarum navium haud pauciorum ducentis secum inferebat. Addit his omnibus Duris Samius, qui genus suum ad Alcibiadem auctorem refert, Chrysogonum Pythionicam tibia præcinisse remigibus nauticos modos, Callippidem tragœdiarum histrionem, stato et xystide ceteroque habitu instructum, quo uti solent qui docendis fabulis in theatro certant, remigum fuisse hortatorem, navem prætoriam explicato velo purpureo in portum subiisse, quasi ille crapulis plenus ex comessatione rediret. Hæc neque Ephorus neque Theopompus neque Xenophon commemorant, neque vero probabile est Alcibiadem adeo per luxum voluisse Atheniensibus insultare, ab exilio tantisque reversum miseriis.

65.

Lysander quum tunc ad majorem quam ullus unquam Græcus homo potentiam pervenisset, fastu tamen videtur majori, quam pro sua potentia, elatus fuisse. Primo enim ei Græcorum et aræ sunt a civitatibus positæ, ut Duris tradit, tanquam deo, et sacrificia peracta in ejus honorem: primo omnium Græcorum pæanes sunt cantati, quorum unius hoc initium commemoratur:

Celebrabimus inclutæ
Græciæ Lacedæmone
prognatum ducem ab ampla:
Io Pæan!

Samii festum Junonis suum Lysandria vocandum sanxe-

ἐψηφίσαντο. Τῶν δὲ ποιητῶν Χοιρίλον μὲν ἀεὶ περὶ αὐτὸν εἶχεν ὡς κοσμήσοντα τὰς πράξεις διὰ ποιητικῆς, Ἀντιλόχῳ δὲ ποιήσαντι μετρίους τινὰς εἰς αὐτὸν στίχους ἡσθεὶς ἔδωκε πλήσας ἀργυρίου τὸν πῖλον. Ἀντιμάχου δὲ τοῦ Κολοφωνίου καὶ Νικηράτου τινὸς Ἡρακλεώτου ποιήματι Λυσάνδρια διαγωνισαμένων ἐπ' αὐτοῦ τὸν Νικήρατον ἐστεφάνωσεν, ὁ δὲ Ἀντίμαχος ἀχθεσθεὶς ἠφάνισε τὸ ποίημα. Πλάτων δὲ νέος ὢν τότε καὶ θαυμάζων τὸν Ἀντίμαχον ἐπὶ τῇ ποιητικῇ βαρέως φέροντα τὴν ἧτταν ἀνελάμβανε καὶ παρεμυθεῖτο τοῖς ἀγνοοῦσι κακὸν εἶναι φάμενος τὴν ἄγνοιαν, ὥσπερ τὴν τυφλότητα τοῖς μὴ βλέπουσιν. Ἐπεὶ μέντοι ὁ κιθαρῳδὸς Ἀριστόνους ἑξάκις Πύθια νενικηκὼς ἐπηγγέλλετο τῷ Λυσάνδρῳ φιλοφρονούμενος, ἂν νικήσῃ πάλιν, Λυσάνδρου κηρύξειν ἑαυτόν, « Ἦ δοῦλον; » εἶπεν.

Athenæus XV, p. 696, E : Οὐκ ἔχει δ' (sc. carmen ab Aristotele in Hermeam Atarnensem compositum) οὐδὲ τὸ παιανικὸν ἐπίρρημα, καθάπερ ὁ εἰς Λύσανδρον τὸν Σπαρτιάτην γραφεὶς ὄντως παιάν, ὅν φησι Δοῦρις ἐν τοῖς Σαμίων ἐπιγραφομένοις Ὥροις ᾄδεσθαι ἐν Σάμῳ.

De honoribus, quibus Lysandrum Samii affecerint, v. Panofka l. l. p. 73. — Antilochus aliunde non notus. Niceratus iste memoratur Praxiphani ap. Marcellin. Vit. Thuc. 30 et Aristoteli Rhetor. III, 11. « Antimachi cum Nicerato certamen, de quo h. l. agitur, initum esse quo tempore Lysander cum Agesilao in Asia rem gereret, conjicit Nækius de Chœril. p. 50; sed non persuadet. Λυσάνδρια enim quis alibi potius celebrata fuisse credat, quam in ipsa Samo? Illud igitur certamen non ad seriora tempora referam, sed ad festorum institutionem Lysandro coram domi a Samiis actorum; quod ut declararet Plutarchus addidit ἐπ' αὐτῷ. » Hæc *Hullemanus* rectissime. Ceterum quæ de Antimacho et Platone h. l. narrantur commentitia esse haud sine causa statuunt Welcker. in Cycl. Hom. p. 106 et Dübner. ad Antimachum p. 29.

66.

Etym. M : Ἰήιος δὲ ὁ Ἀπόλλων λέγεται, ὡς μὲν Δοῦρις, ὅτι ἐν ἀγκάλαις βαστάσασα τὸν ἥλιον (scr. Ἀπόλλωνα) ἡ Λητὼ ἐνεκελεύσατο εἰποῦσα· Ἰήιε παιῆον.

ἥλιον] ortum ex signo, quo nomen Apollinis in codd. passim exaratur. V. Müller. *Dor.* I, p. 315, et 298; Weichert. *Leb. d. Apollon.* p. 49; Lobeck. Aglaoph. p. 1354. Illustratur fragmentum loco Athenæi XV, p. 701, C, ubi Clearchus scripsisse dicitur τὴν Λητὼ ἐκ Χαλκίδος τῆς Εὐβοίας ἀνακομίζουσαν εἰς Δελφοὺς Ἀπόλλωνα καὶ Ἄρτεμιν, γενέσθαι παρὰ τὸ τοῦ κληθέντος Πύθωνος σπήλαιον. Καὶ φερομένου τοῦ Πύθωνος ἐπ' αὐτούς, ἡ Λητώ, τῶν παίδων τὸν ἕτερον ἐν ἀγκάλαις ἔχουσα, προσβᾶσα τῷ λίθῳ τῷ νῦν ἔτι κειμένῳ ὑπὸ τῷ ποδὶ τῆς χαλκῆς εἰργασμένης Λητοῦς,.. εἶπεν· Ἵε παῖ. Τυχεῖν δὲ τόξα μετὰ χεῖρας ἔχοντα τὸν Ἀπόλλωνα.... Διόπερ ἀπὸ τούτου λεχθῆναί φασι τό, Ἵε παῖ, καί, Ἵε παιών.

67.

Proclus ad Plat. Tim. I, p. 28 : Εἴπερ τις ἄλλος καὶ ποιητῶν ἄριστος κριτὴς ὁ Πλάτων... Ἡρακλείδης γοῦν ὁ Ποντικός φησιν, ὅτι τῶν Χοιρίλου τότε εὐδοκιμούντων, Πλάτων τὰ Ἀντιμάχου προὐτίμησε, καὶ αὐτὸν ἔπεισε τὸν Ἡρακλείδην εἰς Κολοφῶνα ἐλθόντα τὰ ποιήματα συλλέξαι τοῦ ἀνδρός. Μάτην οὖν φληναφοῦσι Καλλίμαχος καὶ Δοῦρις, ὡς Πλάτωνος οὐκ ὄντος ἱκανοῦ κρίνειν ποιητάς.

Mandatum istud Antimacho datum in dubium vocat Welcker. l. l. p. 106. — Ceterum de critica, quam in poetas Plato exercuerit, v. Bernhardy *Gr. Lit.* I, p. 131 sq. not, et quos laudat.

68.

Zenobius Prov. II, 28 : Ἀττικὸς πάροικος. Δοῦρις [καὶ] περὶ αὐτῆς λέγει, ὅτι ἐπειδὴ Ἀθηναῖοι τοὺς περιοικοῦντας αὐτοῖς καὶ γειτνιῶντας ἐξέβαλον, ἡ παροιμία ἐκράτησε. Κράτερος δὲ ἀπὸ τῶν εἰς Σάμον πεμφθέντων Ἀθήνηθεν ἐποίκων τὴν παροιμίαν εἰρῆσθαι.

---

runt. Ex poetis ipse Chœrilum semper secum habuit, qui carmine res ejus gestas exornaret : Antilocho, quod de ipso mediocres aliquot versus scripsisset, oblectatus pileum argento replevit. Antimacho Colophonio et Nicerato quodam Heracleota Lysandria poemate decertantibus ipso judice, Niceratum coronavit; Antimachus indignatione motus poema suum abolevit. Plato autem, juvenis tum, miratus Antimachum graviter ferre quod in re poetica esset superatus, consolatus eum est ostenditque, ignorationem iis quibus inesset tantum nocere, sicut cæcitatem iis modo, qui capti luminibus essent. Verum Aristonous citharœdus quum sexies vicisset Pythia et Lysandro blandiens esset pollicitus, si rursus vicisset, Lysandri sese esse pronuntiaturum, tum ille « Num servum? » inquit.

Neque etiam pæanicam exclamationem (*Io Pæan!*) habet hoc carmen, quemadmodum ille in Lysandrum Spartanum scriptus verus pæan, quem Duris in Samiorum annalibus ait Sami cani solitum.

66.

Ἰήιος Apollo appellatur, Duride auctore, propterea quod Latona Apollinem in ulnis gestans exhortata eum est verbis : Ἰήιε παιῆον (Ἵε παιών).

67.

